Petit 30/8
233

# ΑΚΟΛΟΥΘΙΑ ΚΑΙ ΒΙΟΣ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΒΗΣΣΑΡΙΩΝΟΣ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΛΑΡΙΣΣΗΣ ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ

ΚΑΙ ΚΤΙΤΟΡΟΣ ΤΗΣ ΙΕΡΑΣ ΚΑΙ ΠΕΡΙΩΝΥΜΟΥ ΜΟΝΗΣ

ΤΟΥ ΣΩΤΗΡΟΣ ΧΡΙΣΤΟΥ ΤΩΝ ΜΕΓΑΛΩΝ ΠΥΛΩΝ

ΤΗΣ ΚΟΙΝΟΤΕΡΟΝ ΚΑΛΟΥΜΕΝΗΣ ΔΟΥΣΙΚΟΥ

ΕΚΔΙΔΟΤΑΙ

νῦν πληρέστερος ἐπιμελείᾳ καὶ δαπάνῃ

**ΔΗΜΗΤΡΙΟΥ Γ. ΤΡΙΑΝΤΑΦΥΛΛΙΔΟΥ ΚΑΠΟΤΑ** ΙΑΤΡΟΥ

*Ἐπὶ τῇ βάσει τῆς ἐν ἔτει 1759 ὑπὸ Κωνσταντίνου Τριανταφυλλίδου ἐπιδιορθωθείσης ἐκδόσεως, καὶ τῆς ἐν ἔτει 1856 δαπάνῃ Γεωργίου Δ. Καποτᾶ ἀνατυπωθείσης, ἔτι δὲ καὶ τῶν ἐν τῷ Ἱερῷ Κώδικι τῆς Ἱερᾶς Μονῆς Δουσίκου ὑπὸ τοῦ Ἡγουμένου αὐτῆς Θεοφάνους Ἀγγελίδου ἀνευρεθέντων σχετικῶν σημειώσεων.*

ΕΝ ΑΘΗΝΑΙΣ

*Ἐκ τοῦ τυπογραφείου τῶν Νέων Ἰδεῶν, ὁδὸς Ἀριστείδου, 6.*

**1897**

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# Τοῖς ἐντευξομένοις

Ὑπείκων εἰς προφορικὴν ἐντολὴν τοῦ μακαρίτου πατρός μου, ἐπέχουσαν τόπον διαθήκης, καὶ συνεχίζων σεπτὴν οἰκογενειακὴν παράδοσιν, εὐλαβῶς τηρουμένην παρὰ τῇ ἐκ πατρὸς οἰκογενείᾳ μου, προβαίνω εἰς τὴν ἔκδοσιν τοῦ παρόντος, μακρὰν πάσης ἰδιοτελείας, καθόσον καὶ τοῦτο προώρισται νὰ διανεμηθῇ δωρεάν.

Τὸ βιβλίον τοῦτο περιλαμβάνει τὰ κατὰ τὸν Ἅγιον Βησσαρίωνα πάντα, ὅσα καὶ ἡ προγενεστέρα ἔκδοσις, ἡ ὑπὸ τοῦ πατρός μου ἐν ἔτει 1856 γενομένη, ἔτι δὲ καὶ τὰς ὅλως ἀνεκδότους τέως Διαθήκας τοῦ Ἁγίου πρὸς τοὺς διαδόχους του ἀρχιεπισκόπους καὶ τοὺς ἐν τῇ Μονῇ μοναχούς, καὶ ἐπὶ πλέον τὴν βιογραφίαν Αὐτοῦ οὐχὶ ἐν τῇ μιξοβαρβάρῳ φράσει τῆς προλαβούσης ἐκδόσεως, ἀλλ' ἐν τῇ τανῦν ὑπὸ πολλῶν γραφομένῃ γλώσσῃ, τῇ καθαρευούσῃ.

Ἐν τούτοις, δικαιοσύνης φόρον τελῶν, δέον νὰ ἀνομολογήσω δημοσίᾳ εὐγνωμονῶν ὅτι ἡ ἐπαύξησις διὰ τῆς προσθήκης τῶν Διαθηκῶν κλπ. τῆς νέας ταύτης ἐκδόσεως ὀφείλεται εἰς τὴν ὑποχρεωτικωτάτην καὶ ἀκάματον προθυμίαν τοῦ Προηγουμένου τῆς Ἱερᾶς Μονῆς τοῦ Δουσίκου ἐλλογίμου ἀρχιμανδρίτου κ. Θεοφάνους Ἀγγελίδου, ὅστις ἐκθύμως μὲ συνέτρεξεν εἰς τὸ ἔργον, ἰδίᾳ χειρὶ μάλιστα τὰ πλεῖστα ἀντιγράψας ἐκ τοῦ Ἱεροῦ Κώδικος τῆς Μονῆς.

Ἐν Ἀθήναις τῇ 1 Φεβρουαρίου 1897.

Ὁ ἐκδότης

ΔΗΜΗΤΡΙΟΣ ΤΡΙΑΝΤΑΦΥΛΛΙΔΗΣ ΚΑΠΟΤΑΣ

*ἰατρός.*

# ΕΠΙΓΡΑΜΜΑ ΙΑΜΒΙΚΟΝ

*Εἰς τὴν ἁγίαν Κάραν τοῦ θαυματουργοῦ Βησσαρίωνος*
*(παλαιόν)*

ΛΟΙΜΟΥ κάρῳ πάσχουσι σὴν κάραν, Πάτερ,
Οὗ τὴν κάραν ἔστεψαν ἄκανθαι πάλαι,
Κάρας ὀλέθρῳ τοῦ βροτοκτόνου ξένως.
Χριστὸς ξένον δίδωσι τοῖς πιστοῖς ἄκος.

*Ἕτερον Ἰαμβικὸν νέον, Νεοφύτου.*

ΟΠΟΥ καλοῦμαι, ὦ πανώλης, μὴ πάρει.
Ταύτην γὰρ ἔσχον πρὸς Θεοῦ μου τὴν χάριν,
Παίειν σε δεινῶς καὶ βροτῶν ἀφιστάνειν.
Δέδοικα, φησί, σὴν σεβασμίαν κάραν.
Ταύτης γὰρ ὀσμὴν μηδ᾿ ὅλως ἔχω φέρειν.
Εἰς μυχίους οὖν φεύξομαι ᾅδου τόπους.

*Στίχοι ἕτεροι Ἰαμβικοί, ὡς ἀπὸ προσώπου τοῦ ἁγίου εἰς τὸν πανώλην λοιμόν, Ἰωσὴφ Ἀρχιμανδρίτου.*

ΝΟΣΗΜΑ δεινόν. φθεῖρον ἀνθρώπους τάχος,
Σκοτεινόμορφον, καὶ γέμον δυσοσμίας,
Ἔχον τε κλῆσιν. ἣν τρέμει βροτῶν φύσις,
Ἄκητ᾿ ἰατρῶν κερτομοῦν σοφῶν λίαν.
Φοιτῶσαν εἰς σὲ τὴν ἐμὴν ἰδὸν κάραν.
Κρύβηθι, ἔῤῥε, φεῦγε εἰς ᾅδου τόπον.
Χριστοῦ διώκει καὶ πατάσσει γὰρ χάρις.
Λοιγὲ βροτῶν σέ. Βησσαρίων σοὶ λέγω.

*Στίχοι ἕτεροι Ἰαμβικοὶ εἰς τοὺς λοιμῷ συσχεθέντας.*

ΛΟΙΜΟΥ κάρῳ πάσχοντες, ὄντες τ' ἐν κλίνῃ,
Ἀναβλέποντες τὴν τρισόλβιον κάραν
Τοῦ θαυματουργοῦ Βησσαρίωνος πόθῳ,
Καὶ προσκυνοῦντες εὐλαβῶς ἐκ καρδίας,
Ἀπαλλαγὴν λήψεσθε τοῦ δεινοῦ πάθους.
Λοιμὸς τρέμει γὰρ τὴν παρουσίαν κάρας.
Τοῦ τῆς Λαρίσσης προστάτου, καὶ Δουσίκου
Τοῦ Θαυματουργοῦ Βησσαρίωνος λέγω.

*Ἐπίγραμμα ἡρωελεγεῖον εἰς τὴν πάντιμον καὶ θαυματόβρυτον*
*Κάραν τοῦ ἁγίου Βησσαρίωνος.*

ΦΕΥΓΕ πανώλης λοιμέ, τάχος φεῦγ' εἰς ἀΐδαο,
Βησσαρίωνος ἐλᾷ θεσπεσίη σε κάρη.
Εἰ γὰρ καὶ ἀμενηνόν, ἄπνουν τε κάρηνον ἰδέσθαι.
Ἀλλὰ Ζῷον ἔει Πνεύματος ἐν χάριτι

*Στίχοι ἕτεροι κοινοὶ εἰς τὸν ἅγιον ἐκ προσώπου τοῦ*
*Ἡγουμένου, ὡς ὁρᾶται ἐν τῇ Ἀκροστιχίδι.*

ΙΕΡΑΡΧΑ ἔνδοξε, Χριστοῦ θεράπων,
Ἐκκλησιῶν ἔρεισμα τῆς Θετταλίας,
Ῥύου μονὴν σήν, Πάτερ, ἐκ πάσης βλάβης,
Ὅλον τε στῖφος Χριστιανῶν, ζητούντων
Θείαν σὴν κάραν, Βησσαρίων θεόφρον,
Ἕνεκεν φθορᾶς λοιμικῆς ἀσθενείας.
Ὅτι σὺ χάριν ἐκ Θεοῦ μάκαρ ἔσχες,
Σώζειν τοὺς βροτούς, καὶ τὰς νόσους πατάσσειν.

*Ἕτεροι στίχοι ὡς ἀπὸ τοῦ ἁγίου εἰς τὸν Ἱερόθεον δεόμενον.*

ΒΕΒΑΙΩΣ πέλω ῥύστης τε καὶ προστάτης,
Εὐμενῶς τε σὴν δέχομαι ἱκεσίαν.
Σώζω ἀληθῶς βροτοὺς ἐξ ἀσθενείας,
Σωμάτων ῥῶσιν παρέχω τοῖς ζητοῦσιν.
Ἀλλὰ παραινῶ σοί τε καὶ πᾶσιν ἄλλοις,
Ῥύπους ἐκπλύνειν ψυχικοὺς διὰ τάχους,
Ἵνα τὸ θεῖον δέχηται τὰς πρεσβείας.
Ὦ τέκνον ἐμόν· τὸ Θεῖον γὰρ οὐ θέλει
Ναίειν ἀνθρώπους βυθῷ τῆς ἁμαρτίας.

**ΜΟΝΗΣ ΔΟΥΣΙΚΟΥ**

Ο ΚΤΗΤΩΡ ΤΗΣ ΙΕΡΑΣ




ΤΩΝ ΜΕΓΑΛΩΝ ΠΥΛΩΝ

Πάθη πατήσας Βησσαρίων πρίν, χάριν
Λοιμὸν πατεῖν νῦν λαμβάνεις ἐκ Κυρίου.

Τῇ ιε΄. τοῦ Σεπτεμβρίου μηνὸς μνήμην ἐπιτελοῦμεν τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Βησσαρίωνος Ἀρχιεπισκόπου Λαρίσσης τοῦ θαυματουργοῦ.

Ἐν τῷ μικρῷ Ἑσπερινῷ ἱστῶμεν στίχους δ΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια, ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Ἀρχιερέων οἱ δῆμοι ὁσίων τάγματα, εἰς ἓν συναθροισθέντες, εὐφημήσωμεν πόθῳ, θείοις ἐγκωμίοις τὸν ἱερόν, καὶ σεπτὸν Βησσαρίωνα, τὸν τῆς Λαρίσσης ποιμένα, καὶ τοῦ παντός, πρέσβυν κόσμου δυνατώτατον.

Ἐν προσευχῇ ἀενάῳ ὅλον ἐπτέρωσας, τὸ νοερόν σου πάτερ· τὴν δὲ ἐπιθυμίαν, ἐμάρανας νηστείᾳ διηνεκεῖ· τῇ ἀγάπῃ δὲ ἔσβεσας, τὸ θυμικόν· δι᾽ ὃ οἶκος τοῦ παντουργοῦ, ἀνεδείχθης θείου Πνεύματος.

Τὴν περιώνυμον ταύτην μονὴν ἀνήγειρας, τρισμάκαρ Βησσαρίων, τοῦ Κυρίου εἰς δόξαν, καὶ πλήθη συναθροίσας τῶν μοναχῶν, ἐν αὐτῇ ἱερώτατε, κοινοῦ τε βίου καὶ πόνων ἀσκητικῶν, φροντιστήριον ἀνέδειξας.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΑΥΡΟΥ

Δεῦτε προσπτύξασθε πάντες, οἱ νόσους ἔχοντες, τὴν σεβασμίαν κάραν, Βησσαρίωνος πόθῳ· βρύει γὰρ ἰάσεις παντοδαπάς, τοῖς ἐν πίστει προσψαύουσι, καὶ τὰ τοῦ σώματος πάθη καὶ τῆς ψυχῆς, θεραπεύει θείᾳ χάριτι.

Δόξα. ἦχος δ'.

Ἐκ νεότητος σαυτόν, πάσης ὑλικῆς προσπαθείας ἐκκαθάρας, Βησσαρίων μακάριε, τῶν ἀρετῶν ἔπλεξας τὴν ὄντως χρυσῆν σειράν, καὶ παρὰ τοῖς πολλοῖς ἄπλοκον· ἀποταγὴν γὰρ πρῶτον τῶν πάντων ποιησάμενος, ἐκ ταύτης ὑποταγὴν τελείαν ἐπλούτησας· ἐκ τῆς ὑποταγῆς, τὴν πραότητα· ἐκ τῆς πραότητος, τὴν ταπείνωσιν· ἐκ τῆς ταπεινώσεως, τὸν φωτισμόν· ἐκ τοῦ φωτισμοῦ, τὴν διάκρισιν· ἐκ τῆς διακρίσεως, τὴν διόρασιν· ἐκ τῆς διοράσεως, τὴν πρόορασιν, καὶ τὴν τελείαν ἀγάπην πρὸς τὸν Θεὸν καὶ τὸν ἔγγιστα· δι' ὧν ἔσοπτρον ἀκηλίδωτον ἐγένου τῆς θείας χάριτος, πάσης καθαρεῦον γηΐνης ἐμφάσεως· ἀλλὰ μετάδος καὶ ἡμῖν τῶν ἀρετῶν σου τρισμάκαρ, τοῖς ἐκ πόθου τελοῦσι τὴν θείαν μνήμην σου.

Καὶ νῦν. Προεόρτιον τοῦ σταυροῦ. ἦχος ὁ αὐτός.
Τοῦ τιμίου σταυροῦ σου Χριστὲ τὴν ἐνέργειαν, κτ.
Εἰ δὲ ἐν ἄλλῳ καιρῷ τύχοι, λέγε Θεοτοκίον.
Ἀποστίχου. ἦχος β'. Οἶκος τοῦ Εὐφραθᾶ.

Ἄρμα τῆς παντουργοῦ, χάριτος ἀνεδείχθης, ἱερὲ Βησσαρίων, καὶ οἶκος τῆς Τριάδος, Πατρὸς Υἱοῦ καὶ Πνεύματος.



στίχ. Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη...

Ἐπλήσθη ἀληθῶς, δρόσου θείων χαρίτων, ἡ κάρα σου τρισμάκαρ, κατὰ τὸ γεγραμμένον· δι' ὃ καὶ βλύζει θαύματα.

στίχ. Οἱ Ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην.

Ἐν γῇ καὶ οὐρανῷ, Χριστὸς ἐδόξασέ σε, Βησσαρίων θεόφρον, ὡς ἔργοις τε καὶ λόγοις, αὐτὸν πρῶτον δοξάσαντα.

Δόξα, ἦχος α'.

Πάτερ Βησσαρίων, Ἀρχιερεῦ τοῦ Χριστοῦ ὅσιε καὶ ἄκακε· σὺ τὸν Θεὸν ὁλοκαρδίως ἀγαπήσας, τὰς ἐντολὰς αὐτοῦ πάσας ἀμέμπτως ἐφύλαξας. Ἀγαπήσας δὲ καὶ τὸν πλησίον ὡς σεαυτόν, τὸν ἔλεον πᾶσι τοῖς δεομένοις ἀφθόνως διένειμας· καὶ τῆς μὲν πρὸς Θεὸν ἀγάπης, δεῖγμα μετὰ θάνατον τῷ βίῳ κατέλιπες, τὴν περίφημον ταύτην μονήν, ἣν εἰς δόξαν Χριστοῦ ᾠκοδόμησας· τῆς δὲ πρὸς τὸν πλησίον τὴν θαυμαστήν σου γέφυραν, δι' ἧς τῆς πνιγμονῆς τῶν ὑδάτων τοὺς ἀδελφοὺς διασώζεις· καὶ διὰ τῶν δύο πρώτων καὶ μεγίστων ἐντολῶν, ὅλου τοῦ νόμου, καὶ τῶν Προφητῶν πληρωτὴς ἀναδέδειξαι· καὶ νῦν μεταστὰς πρὸς ὃν ἠγάπησας Θεόν, πρέσβευε ὑπὲρ ἡμῶν τῶν ὑπὸ σοῦ ἀγαπωμένων, καὶ ἀνταγαπώντων σε ἅγιε.

Καὶ νῦν Προεόρτιον τοῦ Σταυροῦ, ἦχος ὁ αὐτός.
Προτυπῶν τὸν Σταυρόν σου Χριστὲ κτλ.
Ἢ Θεοτοκίον. Τὸ νῦν ἀπολύεις. Τὸ Τρισάγιον. Καὶ τὸ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ἀπολυτίκιον τοῦ Ἁγίου Ἐν τῇ ὑπομονῇ σου ἐκτήσω Δόξα, καὶ νῦν τῆς Ἑορτῆς, ἢ Θεοτοκίον. Καὶ ἀπόλυσις

---

Ἐν δὲ τῷ μεγάλῳ Ἑσπερινῷ μετὰ τὸν Προοιμιακὸν Ψαλμὸν στιχολογοῦμεν τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα. ἱστῶμεν στίχ. η' Καὶ ψάλλομεν τοῦ Σταυροῦ προσόμοια δ'. καὶ τοῦ Ἱεράρχου προσόμοια δ'. (Εἰ δὲ τύχοι ἐν ἄλλαις ἡμέραις ἑορταζομένου τοῦ Ἁγίου ψάλλομεν μόνον τὰ ἓξ Τροπάρια τοῦ Ἁγίου, ποιοῦντες αὐτὰ ή)

ἦχος β'. Ποίοις εὐφημιῶν στέμμασι

Ποίοις εὐφημιῶν στέμμασιν, ἀναδήσωμεν τὸν Ἱεράρχην; τὸν τῆς συμπαθείας διδάσκαλον, καὶ δικαιοσύνης τὸν πρόμαχον, καὶ ἀγγελικὸν ὄντα τοῖς τρόποις· τὸν λύχνον τὸν φαεινότατον τῆς πίστεως· τὸ ῥεῖθρον τῆς ἐλεημοσύνης τὸ ἀκένωτον· Βησσαρίωνα τὸν νέον τὸν ἀγρύπνοις ὄμμασι, Χριστοῦ πρὸς θείας νομάς, τὴν ποίμνην ποιμάναντα τοῦ μόνου Παντελεήμονος.

Ποίοις ὑμνῳδιῶν κάλλεσι, καταστέψωμεν τὸν Ἱεράρχην; τὸν τῆς ἀδικίας ἀντίπαλον, καὶ ἀδικουμένων ὑπέρμαχον, καὶ τῶν ὀρφανῶν ὄντως προστάτην· τὸν πύργον τῆς ἐγκρατείας τὸν ἀκλόνητον· τὸ μέγα τῶν μοναζόντων ὄντως καύχημα· τῆς Ἐκκλησίας τὸ κλέος, τῶν πιστῶν τὸ στήριγμα· δι' ὧν σοι Βησσαρίων, Χριστὸς ἐδωρήσατο, τὴν ἄνω καὶ θεῖαν εὔκλειαν.

Ποίοις σε ἱερεῖς ᾄσμασιν, ἀνυμνήσωμεν ὦ Ἱεράρχα; τὸν τῆς ἐγκρατείας διδάσκαλον, καὶ τῶν ἀσωμάτων ὁμόσκηνον, καὶ Σεραφικὸν ταῖς θεοπτίαις, τὴν στάθμην τῆς θεωρίας καὶ τῆς πρά-



ξεως, τὸ μέγα τὸ ἐν ἀνάγκαις παραμύθιον· τὸ Ἱερέων τὸ κῦδος, καὶ στεῤῥὸν προπύργιον, δι' οὗ Χριστὸς ὁ Θεὸς βραβεύει τοῖς χρήζουσι, τὸ μέγα καὶ πλούσιον ἔλεος.

Ἕτερα προσόμοια, ἦχος α'. Πανεύφημοι Μάρτυρες.

Θεῷ παντοκράτορι σαυτόν, ὅλον ἀνατέθεικας, ἀπὸ νεότητος ἅγιε· καὶ χρῖσμα ἅγιον, ἱερῶς ἐδέξω, λαοῦ προηγούμενος, καὶ ποίμνης εὐσεβοῦς προϊστάμενος, καὶ νῦν ἐσκήνωσας, πρὸς τὴν μάνδραν τὴν οὐράνιον, Βησσαρίων Ἱεράρχα ὅσιε.

Ἱεραρχικώτατος ποιμήν, τῶν πιστῶν γενόμενος, πολλῶν καρδίας ἐφώτισας, χρίων ἐν πνεύματι, ἱερεῖς παμμάκαρ, λειτουργῶν ὡς ἄγγελος, Κυρίῳ ἀληθῶς παντοκράτορι, ὃν Ἱερώτατε, καταπέμψαι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην σοφὲ ἐκδυσώπησον.

Ἡ πάνσεπτος κάρα σου ἡμῖν, Βησσαρίων ἅγιε, οἷα περ κρήνη τὰ θαύματα, πηγάζει πάντοτε· πάθη τε δυσώδη, ψυχῆς καὶ τοῦ σώματος, ἐκπλύνει καὶ καθαίρει τῇ χάριτι, Χριστοῦ οὗ γέγονας, μιμητὴς εἰλικρινέστατος, ὃν δυσώπει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα, ἦχος πλ β'.

Βησσαρίων πατὴρ ἡμῶν· σὺ καὶ λόγοις καὶ ἔργοις, διδάσκαλος γενόμενος σωτήριος ἡμῖν, ἐδίδαξας ἡμᾶς, καὶ πρὸς φῶς ὡδήγησας Χριστοῦ

τῶν ἐντολῶν· δι' ὃ καὶ πρὸς ὃν ἐπόθεις Ἰησοῦν μεταστάς, μὴ εἰς τέλος ἐάσῃς ἡμᾶς ὀρφανούς, ἀλλὰ συμπαρὼν ἡμῖν ἀεὶ τῷ πνεύματι ἄγιε, καὶ διδάσκων ἀοράτως, καὶ καθοδηγῶν ἡμᾶς πρὸς τὰς ὁδοὺς τῶν ἀρετῶν, ἀξίους τῶν ἐπουρανίων ἀνάδειξον μονῶν, ἵνα ἐν τῇ τῆς τοῦ Χριστοῦ σου ἐμφανείας ἡμέρᾳ, σὺ μὲν χαίρων κραυγάζῃς πρὸς αὐτόν· Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅ μοι δέδωκας ὁ Θεός, ἡμεῖς δὲ πάλιν βοῶμεν· Οὗτος Κύριε ὁδηγὸς τῆς ἡμῶν σωτηρίας, ὁ φιλόστοργος πατήρ, ὃν δέδωκας ἡμῖν· ὁ ἰατρὸς τῶν ἡμετέρων ψυχῶν· μεθ' οὗ καὶ νῦν ἀξίωσον ἡμᾶς, αὐλίζεσθαι Δέσποτα, ἐν ταῖς ἀειφώτοις σου σκηναῖς, καὶ σὲ δοξολογεῖν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ Παναγίῳ σου Πνεύματι.

Καὶ νῦν. Τοῦ Σταυροῦ. Ὁ αὐτός. Σήμερον προέρχεται ὁ Σταυρὸς τοῦ Κυρίου. Ἡ Θεοτοκίον. Εἴσοδος. Τὸ Φῶς ἱλαρόν. Τὸ προκείμενον τῆς ἑορτῆς. Ἦχος βαρύς. Ὁ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ, καὶ ἐν τῇ γῇ. Στίχ. Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου. Στίχ. Ἡ Θάλασσα εἶδε καὶ ἔφυγε. Στίχ. Τί σοί ἐστι Θάλασσα ὅτι ἔφυγες; Τὰ ἀναγνώσματα.

**Γενέσεως τὸ ἀνάγνωσμα.**

Ὤφθη τῷ Ἀβραὰμ ὁ Θεὸς πρὸς τῇ δρυῒ τῇ μαμβρῇ, καθημένου αὐτοῦ ἐπὶ τῆς θύρας τῆς σκηνῆς αὐτοῦ μεσημβρίας. Ἀναβλέψας δὲ τοῖς ὀφθαλμοῖς αὐτοῦ εἶδε, καὶ ἰδοὺ τρεῖς ἄνδρες εἱστήκεισαν ἐπάνω αὐτοῦ, καὶ ἰδὼν αὐτοὺς προσέδραμεν εἰς συνάντησιν αὐτοῖς ἀπὸ τῆς θύρας τῆς σκηνῆς αὐτοῦ, καὶ προσεκύνησεν ἐπὶ τὴν γῆν, καὶ εἶπε· Κύριε, εἰ ἄρα εὗρον χάριν ἐναντίον σου, μὴ παρέλθῃς τὸν παῖδά σου· ληφθήτω



δὴ ὕδωρ, καὶ νιψάτωσαν τοὺς πόδας ὑμῶν, καὶ καταψύξατε ὑπὸ τὸ δένδρον, καὶ λήψομαι ἄρτον, καὶ φάγεσθε, καὶ μετὰ τοῦτο παρελεύσεσθε εἰς τὴν ὁδὸν ὑμῶν, οὗ ἕνεκεν ἐξεκλίνατε πρὸς τὸν παῖδα ὑμῶν. Καὶ εἶπεν· Οὕτω ποίησον, καθὼς εἴρηκας. Καὶ ἔσπευσεν Ἀβραὰμ ἐπὶ τὴν σκηνὴν πρὸς Σάῤῥαν, καὶ εἶπεν αὐτῇ· Σπεῦσον, καὶ φύρασον τρία μέτρα σεμιδάλεως, καὶ ποίησον ἐγκρυφίας. Καὶ εἰς τὰς βόας ἔδραμεν Ἀβραάμ, καὶ ἔλαβεν ἁπαλὸν μοσχάριον καὶ καλόν, καὶ ἔδωκε τῷ παιδί, καὶ ἐτάχυνε τοῦ ποιῆσαι αὐτό· ἔλαβε δὲ βούτυρον καὶ γάλα, καὶ τὸ μοσχάριον, ὃ ἐποίησε, καὶ παρέθηκεν αὐτοῖς, καὶ ἔφαγον· αὐτὸς δὲ παρειστήκει αὐτοῖς ὑπὸ τὸ δένδρον. Ἐξαναστάντες δὲ ἐκεῖθεν οἱ ἄνδρες, κατέβλεψαν ἐπὶ πρόσωπον Σοδόμων καὶ Γομόῤῥας. Ἀβραὰμ δὲ συνεπορεύετο μετ' αὐτῶν, συμπροπέμπων αὐτούς. Ὁ δὲ Κύριος εἶπε· Οὐ μὴ κρύψω ἐγὼ ἀπὸ Ἀβραὰμ τοῦ παιδός μου, ἃ ἐγὼ ποιῶ. Ἀβραὰμ δὲ γινόμενος ἔσται εἰς ἔθνος μέγα καὶ πολύ, καὶ ἐνευλογηθήσονται ἐν αὐτῷ πάντα τὰ ἔθνη τῆς γῆς· ᾔδειν γὰρ ὅτι συντάξει τοῖς υἱοῖς αὐτοῦ, καὶ τῷ οἴκῳ αὐτοῦ μετ' αὐτόν· καὶ φυλάξουσι τὰς ὁδοὺς Κυρίου ποιεῖν δικαιοσύνην καὶ κρίσιν, ὅπως ἂν ἐπαγάγῃ Κύριος ἐπὶ Ἀβραὰμ πάντα, ὅσα ἐλάλησε πρὸς αὐτόν.

**Παροιμιῶν τὸ ἀνάγνωσμα.**

Υἱέ, ἐμῶν νομίμων μὴ ἐπιλανθάνου, τὰ δὲ ῥήματά μου τηρείτω σὴ καρδία· μῆκος γὰρ βίου καὶ ἔτη ζωῆς, καὶ εἰρήνη προσθήσουσί σοι· ἐλεημοσύναι καὶ πίστεις, μὴ ἐκλειπέτωσάν σε· ἄφαψαι δὲ αὐτὰς ἐπὶ σῷ τραχήλῳ· γράψον αὐτὰς ἐπὶ πλακὸς καρδίας σου, καὶ εὑρήσεις χάριν, καὶ προνοοῦ καλὰ ἐνώπιον Κυρίου καὶ ἀνθρώπων. Ἴσθι πεποιθὼς ἐν ὅλῃ καρδίᾳ ἐπὶ Θεῷ· ἐπὶ δὲ σῇ σοφίᾳ μὴ ἐπαίρου. Ἐν πάσαις ὁδοῖς σου γνώριζε αὐτήν, ἵνα ὀρθοτομῇ τὰς ὁδούς σου. Μὴ ἴσθι φρόνιμος παρὰ σεαυτῷ· φοβοῦ δὲ τὸν Θεόν, καὶ ἔκκλινε ἀπὸ παντὸς κακοῦ· τότε ἴασις ἔσται τῷ σώματί σου, καὶ ἐπιμέλεια ἐν τοῖς ὀστέοις σου. Τίμα τὸν Κύριον ἀπὸ σῶν δικαίων πόνων, καὶ ἀπάρχου αὐτῷ ἀπὸ σῶν καρπῶν δικαιοσύνης, ἵνα πίμπληνται τὰ ταμεῖά σου πλησμονῆς σίτου, οἴνῳ δὲ αἱ ληνοί σου ἐκβλύζωσιν. Υἱέ, μὴ ὀλιγώρει παιδείας Κυρίου, μηδὲ

ΕΛΛΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ἐκλύου ὑπ'αὐτοῦ ἐλεγχόμενος· ὃν γὰρ ἀγαπᾷ Κύριος παιδεύει, μαστιγοῖ δὲ πάντα υἱόν, ὃν παραδέχεται. Μακάριος, ὃς εὗρε σοφίαν, καὶ θνητός, ὃς εἶδε φρόνησιν· κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν· οὐκ ἀντιτάσσεται αὐτῇ οὐδὲν πονηρόν· εὔγνωστός ἐστι πᾶσι τοῖς ἐγγίζουσιν αὐτῇ· πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστι· μῆκος γὰρ βίου καὶ ἔτη ζωῆς ἐν τῇ δεξιᾷ αὐτῆς, ἐν δὲ τῇ ἀριστερᾷ αὐτῆς πλοῦτος καὶ δόξα. Ἐκ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη· νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ· αἱ ὁδοὶ αὐτῆς ὁδοὶ καλαί· καὶ πᾶσαι αἱ τρίβοι αὐτῆς ἐν εἰρήνῃ· ξύλον ζωῆς ἐστι πᾶσι τοῖς ἀντεχομένοις αὐτῆς, καὶ τοῖς ἐπερειδομένοις ἐπ' αὐτὴν ὡς ἐπὶ Κύριον ἀσφαλής. Ὁ Θεὸς τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν. ἡτοίμασε δὲ οὐρανοὺς φρονήσει. Ἐν αἰσθήσει αὐτοῦ ἄβυσσοι ἐῤῥάγησαν· νέφη δὲ ἐῤῥύησαν δρόσους. Υἱέ, μὴ παραῤῥυῇς· τήρησον δὲ ἐμὴν βουλὴν καὶ ἔννοιαν, ἵνα ζήσῃ ἡ ψυχή σου, καὶ χάρις ᾖ περὶ σῷ τραχήλῳ· ἔσται δὲ ἴασις ταῖς σαρξί σου, καὶ ἐπιμέλεια τοῖς σοῖς ὀστέοις, ἵνα πορεύῃ πεποιθὼς ἐν εἰρήνῃ πάσας τὰς ὁδούς σου, ὁ δὲ πούς σου οὐ μὴ προσκόψῃ. Ἐὰν γὰρ κάθῃ, ἄφοβος ἔσῃ· ἐὰν δὲ καθεύδῃς, ἡδέως ὑπνώσεις καὶ οὐ φοβηθήσῃ πτόησιν ἐπελθοῦσαν, οὐδὲ ὁρμὰς ἀσεβῶν ἐπερχομένας· ὁ γὰρ Κύριος ἔσται ἐπὶ πασῶν ὁδῶν σου, καὶ ἐρείσει σὸν πόδα, ἵνα μὴ σαλευθῇς. Μὴ ἀπόσχῃ εὖ ποιεῖν ἐνδεῆ, ἡνίκα ἂν ἔχῃ ἡ χείρ σου βοηθεῖν· μὴ εἴπῃς, Ἐπανελθὼν ἐπάνηκε, καὶ αὔριον δώσω· δυνατοῦ σου ὄντος εὖ ποιεῖν· οὐ γὰρ οἶδας τί τέξεται ἡ ἐπιοῦσα. Μὴ τεκτήνῃ ἐπὶ σὸν φίλον κακά, παροικοῦντα καὶ πεποιθότα ἐπὶ σοί. Μὴ φιλεχθρήσῃς πρὸς ἄνθρωπον μάτην, ἵνα μήτι σὲ ἐργάσηται κακόν. Μὴ κτήσῃ κακῶν ἀνδρῶν ὀνείδη μηδὲ ζηλώσῃς τὰς ὁδοὺς αὐτῶν· ἀκάθαρτος γὰρ ἔναντι Κυρίου πᾶς παράνομος, ἐν δὲ δικαίοις οὐ συνεδριάζει. Κατάρα Θεοῦ ἐν οἴκοις ἀσεβῶν, ἐπαύλεις δὲ δικαίων εὐλογοῦνται. Κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν

**Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.**

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρη-



ται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος τῷ Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη· ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ. Διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας· οἱ δὲ λαοὶ ἰδόντες, καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ὁσίοις αὐτοῦ.

Εἰς τὴν Λιτήν. Ἰδιόμελα τοῦ ἁγίου, ἦχος α΄.

Πιστεύσας τῷ τῶν ὅλων Δεσπότῃ, δοῦλος εὐγνώμων τούτου γέγονας, τῷ τούτου φόβῳ στοιχειωθείς· φοβηθεὶς δέ, εἰς ἄκραν ταπείνωσιν ἔφθασας· ταπεινωθεὶς δέ, ἐπραΰνθης, τὴν τῶν παρὰ φύσιν κινημάτων ἀνενέργητον ἕξιν λαβών, θυμοῦ καὶ ἐπιθυμίας· πραϋνθεὶς δέ, τὰς ἐντολὰς ἐτήρησας· ταύτας δὲ τηρήσας, ἐκαθάρθης· καθαρθεὶς δέ, ἐνελάμφθης· ἐλλαμφθεὶς δέ, ἀκούεις παρὰ Χριστοῦ· Οὐκ ἔτι εἶ δοῦλος, ἀλλὰ φίλος, δεῦρο σὺν ἐμοί, ἐν τῷ ταμείῳ τῆς ἄνω κλήσεως.

Ἦχος δ΄.

Ὡς καλὸς Ἱεράρχης, καὶ τῆς εὐσεβείας διδάσκαλος, τῇ δραστικῇ δυνάμει τῶν θεοφθόγγων ῥημάτων σου, πολλοὺς πεπλανημένους εἵλκυσας εἰς τὴν ὁδὸν τῆς ἀληθείας· καὶ ἀγλάϊσμα Ἀρχιερέων ἀναδειχθείς, τοὺς μετὰ σὲ τῇ

πολιτείᾳ σου ἔπειθες, τῆς τοῦ Κυρίου βαίνειν ἴχνεσιν· ἀλλὰ καὶ μοναζόντων γενόμενος ὁδηγός, καὶ κανὼν ἀκριβέστατος, πρῶτος αὐτὸς ἀρετὴν πᾶσαν ἐπιδέδειξαι· δι᾽ ὃ ἀπαύστως ἐν οὐρανίοις, τοῖς Ἀγγέλοις συγχορεύων, ἱκετηρίαν ποιοῦ ὑπὲρ ἡμῶν πρὸς Κύριον, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν, τῶν μετὰ πόθου ἑορταζόντων, τὴν πανσεβάσμιον μνήμην σου.

Ἦχος πλ. β'.

Εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ, εὖ ἐργάτα τοῦ ἀμπελῶνος Χριστοῦ, Βησσαρίων μακαριώτατε· σὺ καὶ τὸ βάρος τῆς ἡμέρας ἐβάστασας, σὺ καὶ τὸ δοθέν σοι τάλαντον ἐπηύξησας, καὶ τοῖς μετὰ σὲ ἐλθοῦσιν οὐκ ἐφθόνησας. Διὸ πύλη σοι οὐρανῶν ἠνέῳκται· εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου, καὶ πρέσβευε ὑπὲρ ἡμῶν πάτερ ἁγιώτατε.

Ὁ αὐτός.

Ἄνθρωπε τοῦ Θεοῦ, καὶ πιστὲ θεράπων, καὶ οἰκονόμε τῶν αὐτοῦ μυστηρίων, καὶ ἄνερ ἐπιθυμιῶν τῶν τοῦ Πνεύματος, στήλη τε ἔμψυχε, καὶ ἔμπνους εἰκών, ὡς θεῖον θησαυρὸν τὴν πάνσεπτον κάραν σου, ἡ τῶν Λαρισσαίων ἐκκλησία, ἀγαμένη προσήκατο, καὶ σὲ πρεσβευτὴν θερμὸν πρὸς Κύριον προβάλλεται.



Ὁ αὐτός.

Ὅσιε τρισμάκαρ ἁγιώτατε πάτερ, ὁ ποιμὴν ὁ καλός, καὶ τοῦ ἀρχιποίμενος Χριστοῦ μαθητής, ὁ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων, αὐτὸς καὶ νῦν πανεύφημε, Βησσαρίων πατὴρ ἡμῶν, αἴτησαι πρεσβείαις σου, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Ἦχος πλ. δ'.

Τοῦ μεγάλου Ἀρχιερέως μιμητής, Βησσαρίων γενόμενος, χρίσματι ἀγαλλιάσεως, τετέλεσαι ὅσιε· καὶ εὐωδία τούτου γενόμενος, κατ᾽ ἴχνος ἠκολούθησας, ἐλαίῳ συμπαθείας βραδύνας τὴν λαμπάδα σου. Ὅθεν σὺν αὐτῷ νῦν εὐφραίνῃ εὐωχούμενος, μετὰ πάντων τῶν ἁγίων, μεθ᾽ ὧν αἰτῶν μὴ διαλίπῃς, συναπολαῦσαι καὶ ἡμᾶς, τῆς θείας βασιλείας, τοὺς εἰλικρινῶς αἰτουμένους σε, καὶ ἐτησίως ἑορτάζοντας τὴν μνήμην σου.

Δόξα. Ἦχος πλ. α'.

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων, καὶ ψάλλωμεν γηθόμενοι, εὐσήμως πανηγυρίζοντες, ἐπὶ τῇ μνήμῃ τοῦ Ἱεράρχου καὶ θεοφόρου Πατρός. Βασιλεῖς καὶ ἄρχοντες συγκροτείτωσαν, καὶ τὸν παιδιόθεν Χριστοῦ ἀναδειχθέντα ὀτηρὸν θεράποντα, ἐν τῷ τούτου ἀμπελῶνι, μέχρις ἐσχάτης ἐκδημίας ἀνυμνείτωσαν· ποιμένες καὶ

διδάσκαλοι, τὸν τοῦ καλοῦ ποιμένος, ἀκόλουθον ποιμένα, συνδραμόντες ἐπαινείτωσαν· αἱ παρθένοι τὸν φροντιστήν· ἡ συζυγία τὸν ζυγόν· οἱ τῆς ἐρημίας τὸν πτερωτήν· οἱ μιγάδες τὸν νομοθέτην· ἡ νεότης τὴν παιδαγωγίαν· ἡ εὐπορία τὸν οἰκονόμον· τὸν ποριστὴν ἡ πενία· οἱ πάντες, τὸν γενόμενον τοῖς πᾶσι τὰ πάντα, ἵνα κερδήσῃ πάντας, ἢ τοὺς πλείονας, οὕτω προσείπωμεν· Βησσαρίων θαυμάσιε, πρέσβευε τῷ Σωτῆρι, τῆς ἐφεστώσης ἀνάγκης, ῥυσθῆναι τὴν ποίμνην σου, ταῖς ἱκεσίαις σου.

Καὶ νῦν, τῆς ἑορτῆς ἦχος ὁ αὐτός.

Ὅνπερ πάλαι Μωϋσῆς κτλ.

Ἡ Θεοτοκίον. Εἰς τὸν στίχον στιχηρὰ τοῦ ἁγίου. Ἦχος πλ. β'.

Ὅλην ἀποθέμενοι.

Ὅλον ἀπὸ βρέφους σε, ἀνατεθέντα Κυρίῳ, Πατὴρ ὁ οὐράνιος, καὶ τὸ Πνεῦμα ὅσιε τὸ Πανάγιον, ἱερῶς ἔχρισεν, ἀρετῶν κάλλεσι· παραδόξως καὶ ἐλάμπρυνε, καὶ ὡραιότατον, καὶ θεοειδῆ χρηματίσαντα, ἀγγέλοις συνηρίθμησε, καὶ Ἱεραρχῶν ὁμηγύρεσιν, οἷς συναγελάζων, ὡς ὄντως ἀληθὴς Ἀρχιερεύς, ἐν παῤῥησίᾳ ἱκέτευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Στίχ. Τὸ στόμα μου λαλήσει σοφίαν.

Ὤφθης Ἱερώτατε, ἐν ταῖς αὐλαῖς τοῦ Κυρίου, ἐκβλαστήσας ἔνδοξε, ἀρετῶν τοὺς βότρυας, κλῆμα πάγκαρπον, ἱερὰ νάματα, ἱερῶν σου



λόγων, θεοσόφως προχεόμενα· ὧν περ γευόμενοι, θείας εὐφροσύνης πληρούμεθα, καὶ μέθης ἐκλυτρούμεθα, τῆς ἐκ τῶν παθῶν ἡμῶν πάντοτε, οἱ τὴν παναγίαν, καὶ πλήρεις χαρμονῆς πνευματικῆς, μνήμην σου πόθῳ γεραίροντες, πάτερ ἱερώτατε.

Στίχ. Στόμα δικαίου μελετήσει σοφίαν.

Ἄστρον ὡς πολύφωτον, καταφωτίζεις τοὺς πόθῳ, μάκαρ Ἱερώτατε, τὴν σεπτὴν γεραίροντας, θείαν μνήμην σου· οἰκτιρμῶν πέλαγος, τοῦ ἐλέους χύσις, ὡς ὑπάρχων ἀδαπάνητος ἀδικουμένων τε, πρόμαχος στεῤῥὸς καὶ ἀκλόνητος· πενήτων τε παράκλησις, καὶ τῶν ἐν κινδύνοις ἀνάψυξις, ὀρφανῶν προστάτης, χηρῶν ἐπικουρία ἀσφαλής, ἐκ τῆς μελλούσης κολάσεως, πάντας ἡμᾶς λύτρωσαι.

Δόξα, ἦχος δ'.

Ἁγιώτατε Πάτερ, Βησσαρίων Θεοῦ λειτουργέ, Χριστοῦ σε τῆς ἀγάπης ἐχώρισεν οὐδέν, οὐ δόξα, οὐ τρυφαί, καὶ ἡδοναί, ἀλλ' οὐδ' ἀνθρώπων ἔπαινοι, οὐδὲ ὕψη θρόνων· δι' ὃ καὶ μεταστάντα τῆς προσκαίρου ζωῆς, ἐδέξαντό σε οὐράνιαι σκηναί· καὶ πλοῦτον ἔχεις ἐν οὐρανοῖς ἄφθαρτον, καὶ δόξαν ἀΐδιον τρυφῆς ἀκηράτου καὶ ἡδονῆς ἐμφορούμενος, καὶ τὸν παρ' Ἀγγέλων δεχόμενος ἔπαινον. Ἀλλὰ καὶ ἡμεῖς χρεωστικῶς ἐκτελοῦντές σου τὴν μνήμην, τύ-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

χοιμεν ταῖς πρὸς τὸν Θεὸν ἀκοιμήτοις πρεσβείαις σου, βασιλείας οὐρανῶν ἀξιομακάριστε.

Καὶ νῦν. Τῆς ἑορτῆς. Τῷ αὐτῷ ἤχῳ, ἡ Θεοτοκίον.
Ἀπολυτίκιον Τροπάριον τοῦ Ἱεράρχου. Ἦχος πλ. δ'.

Ἐν τῇ ὑπομονῇ σου ἐκτήσω τὸν μισθόν σου Πάτερ ὅσιε, ταῖς προσευχαῖς ἀδιαλείπτως ἐγκαρτερήσας, τοὺς πτωχοὺς ἠγάπησας, καὶ τούτοις ἐπαρκέσας, ἀλλὰ πρέσβευε Χριστῷ τῷ Θεῷ, Βησσαρίων Ἱεράρχα μακάριε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ τῆς ἑορτῆς ἡ Θεοτοκίον
Ἕτερον νέον ἀπολυτίκιον. Ἦχος πλ. δ'.

Ἐν σοὶ Πάτερ ἀκριβῶς ἐτηρήθη τὸ κατ' εἰκόνα· ἐκ παιδὸς γὰρ ἀνετέθης Θεῷ, καὶ πράξει ἐναρέτου ζωῆς, θεαρέστως ἐδίδασκες. Ὅθεν θαυμάτων χάριν πεπλουτηκώς, τῇ πανσέπτῳ σου κάρᾳ, λοιμὸν πανώλη ἐλαύνεις, Ἱεράρχα Βησσαρίων μακάριε, καὶ ὑπὲρ πάντων πρεσβεύεις, τῷ Κυρίῳ ἑκάστοτε.

Εἰς τὸν Ὄρθρον μετὰ τὴν πρώτην στιχολογίαν.
Κάθισμα τοῦ Ἱεράρχου. Ἦχος πλ. δ'. Τὴν σοφίαν καὶ λόγον.

Τὴν τοῦ βίου πλημμύραν διαφυγών, καὶ τῆς δόξης τοῦ κόσμου καταφρονῶν, Πάτερ ἠκολούθησας, ὃν ἐπόθησας Κύριον· καὶ τὴν τρίβον τούτου τὴν θείαν διήνυσας, τῆς αὐτοῦ ἀγάπης οὐδέν σε ἐχώρισεν· ὅθεν κληρονόμος βασιλείας ἐδείχθης, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, Ἱεράρχα μακάριε· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα τὸ αὐτό Καὶ νῦν, Τῆς ἑορτῆς.
Εἰ δὲ ἐν ἄλλῃ ἡμέρᾳ τύχοι. εἰπὲ Θεοτοκίον Μετὰ τὴν β'. στιχολογίαν. κάθισμα. ἦχος πλ. δ'.
Τὴν σοφίαν καὶ λόγον.

Εἰς τὸ ὄρος ἀνῆλθες τὸ νοητόν, καὶ τὸν γνόφον ὑπέδυς τὸν μυστικόν· τὰ βάθη τοῦ Πνεύματος, ἐμυήθης θεόσοφε· μυστικῶς ἐκτυπώσας, Τριάδος τὴν ἕνωσιν, ἐν πλαξὶ σῆς καρδίας, δακτύλῳ θεότητος. Ὅθεν Βησσαρίων, Λαρισσαίων ἐδείχθης, φωστὴρ τηλαυγέστατος, καὶ διδάσκαλος ἄριστος· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν σεβάσμιον μνήμην σου.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Δόξα τὸ αὐτό. Καὶ νῦν. Τῆς ἑορτῆς, ἢ Θεοτοκίον. Μετὰ τὸν Πολυέλεον. Κάθισμα. Ἦχος πλ. δ΄. Ἀγγελικαὶ δυνάμεις.

Ἀγγελικὸν βιώσας ἐπὶ γῆς βίοτον, τὴν σὴν ὁλκάδα τοῦ φόρτου ἐκένωσας· καὶ ἱστίῳ πτερώσας εὐποιΐας, λιμένα κατέλαβες τῶν ζώντων· ποιμαίνῃ δὲ ἐν ὕδατι ἀναπαύσεως, παράδεισον σὺν ἁγίοις τοῖς ἀπ᾽ αἰῶνος οἰκῶν, καὶ τῷ Κυρίῳ ἐκβοῶν αἶνον ἄπαυστον.

Δόξα ἕτερον. Ἦχος γ΄. Τὴν ὡραιότητα.

Τὴν ὡραιότητα τῆς πολιτείας σου, καὶ τὴν λαμπρότητα τῆς σωφροσύνης σου, τίς ἐξισχύσειεν εἰπεῖν, μακάριε Βησσαρίων; Τίς δὲ τὰ θαυμάσια, ἐκ σῆς κάρας χεόμενα πᾶσι τοῖς προστρέχουσι, διατόρως κηρύξειε; Δι᾽ ὃ ἀπόρῳ γλώττῃ δοξάζομεν, τὸν δοξάσαντά σε Κύριον.

Οἱ Ἀναβαθμοί. Καὶ νῦν, Τῆς ἑορτῆς, ἢ Θεοτοκίον. Τὸ πρῶτον ἀντίφωνον τοῦ δ΄. ἤχου. Προκείμενον. Τὸ στόμα μου λαλήσει σοφίαν. Στίχ. Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη. Εὐαγγέλιον κατὰ Ἰωάννην. Ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας. Ὁ Ν΄. Εἶτα, Ἰδιόμελον τοῦ Ἱεράρχου.

Ἦχος πλ. β΄.

Βησσαρίων Ἱεράρχα, συμπολῖτα τῶν Ἀγγέλων, βασιλείας κληρονόμε τοῦ Χριστοῦ, παρεστὼς τῇ Τριάδι, πρέσβευε ὑπὲρ ἡμῶν τῶν φιλτάτων σου τέκνων, χρεωστικῶς ἐκτελούντων, τὴν πανίερον μνήμην σου.

Ὁ Ἱερεὺς τό, Σῶσον ὁ Θεός. Οἱ κανόνες. Τοῦ Σταυροῦ εἰς ς΄. Καὶ τοῦ Ἱεράρχου οἱ δύο εἰς η΄. Ὁ Κανὼν τοῦ Ἱεράρχου ποίημα Παχωμίου Ἱερομονάχου. Οὗ ἡ ἀκροστιχίς, Ὕμνον παράσχου Βησσαρίων σοὶ πλέκειν.



Ὠδὴ α΄. Ἦχος δ΄. Θαλάσσης τὸ ἐρυθραῖον.

Ὑπῆρξας χωρητικὸς τοῦ Πνεύματος, τοῦ θείου πάνσοφε, τὸ τῆς ψυχῆς ἱστίον τῆς αὐτοῦ, ὑποτάξαι ὁρμήμασι· καὶ πρὸς λιμένας ἔφθασας, τοὺς ἀκυμάντους Ἱερώτατε.

Μανίαν τοῦ μαμμωνᾶ ἀπέσεισας, εἰδώλων σέβασμα, ἐκ σῆς ψυχῆς καὶ ὡς καλός, οἰκονόμος τὸ σοὶ πιστευθέν, εἰς δεομένων τράπεζαν, ἐπολυπλασιάσω τὸ τάλαντον.

Ναὸς ὢν τοῦ Παναγίου Πνεύματος, ταῖς ἐπιβάσεσι, ταῖς ἱεραῖς λαμπόμενος Χριστῷ, καὶ ναὸν τῷ παντάνακτι, ᾠκοδομήσω ἅγιε, εἰς ὑμνῳδίαν ἀκατάπαυστον.

Θεοτοκίον.

Ὁ λόγος ὁ τοῦ Θεοῦ πανάμωμε, ἐν σοὶ ἐσκήνωσε· καὶ σαρκοφόρος ὤφθη ἐπὶ γῆς, ἀλογίας λυτρούμενος, τοὺς πλανηθέντας δόγμασι, καὶ συμβουλίᾳ τοῦ ἀλάστορος.

Ἕτερος κανὼν τοῦ Ἱεράρχου. Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.

Ἄνθρωπος μὲν ὁ παρ᾽ ἡμῶν ὑμνούμενος, οὗτος οὐράνιος· ὁ δὲ αὐτοῦ βίος, ἄγγελον ἐν σώματι, τοῦτον ἡμῖν ἀνέδειξε. Διὰ τοῦτο ὑμνείσθω, καὶ ὡς ἐπίγειος ἄγγελος, καὶ ὡς ἐπουράνιος ἄνθρωπος.



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ — ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ποίαν ὁδὸν τῶν ἀρετῶν οὐχ ὥδευσας, ἄνθρωπε σὺ τοῦ Θεοῦ; τῶν ἀγαθῶν ἔργων, ποῖόν σε διέφυγε; πάσης καὶ γὰρ διδάσκαλος, θεωρίας ἐγένου, καὶ θαυμαστῶν τύπος πράξεων, Πάτερ Βησσαρίων τρισμέγιστε.

Ζῆς καὶ θανών, ὦ Βησσαρίων ἔνδοξε, μὴ καταλείπῃς ἡμᾶς, καὶ ζῶν λοιπὸν Πάτερ, μεθ' ἡμῶν τῶν τέκνων σου, δεῦρο καὶ στῆθι σήμερον, εὐλογῶν ἀοράτως, τοὺς ἐκτελοῦντας τὴν μνήμην σου, καὶ χαροποιῶν τοὺς ὑμνοῦντάς σε.

Θεοτοκίον.

Θεηγορεῖν με τὸ ἐν σοὶ μυστήριον, πείθει καὶ πάλιν ἁγνή· θεολογῶ τοίνυν, ἐν τῷ ψάλλειν οὕτως σοι, χαῖρε τὸ ξένον ἄκουσμα, ἡ παρθένος καὶ Μήτηρ. Θεὸν ἀσπόρως γὰρ ἔτεκες, ἕνα ἐν δυσὶ Κόρη φύσεσι.

Καταβασία. Σταυρὸν χαράξας. Ὠδὴ γ'. Εὐφραίνεται ἐπὶ σοί.

Νοῦν ἔχων θεολαμπῆ, καὶ μετὰ σώματος ζηλῶν ἅγιε, νόων σεπτῶν τάγματα, τούτοις ἐκδημῶν συνηρίθμησαι.

Πολίτευμα ἐσχηκώς, ἐν οὐρανοῖς ἐξ οὗ Χριστὸν Κύριον, πάντες ἀπεκδεχόμεθα· τοῦτον ἐξιλέου τοῖς δούλοις σου.

Ἀνάψας σε νοητόν, τῇ Ἐκκλησίᾳ ὁ Χριστὸς ἔθηκε, λύχνον πιστοῖς πάντοτε, τούτων διανοίας φωτίζοντα.



Θεοτοκίον.

Ρωννύων τὴν τῶν βροτῶν ἐξασθενήσασαν φύσιν Κύριος, ταύτην ἐκ σοῦ Πάναγνε ἄνευ ἁμαρτίας προσέλαβε.

Ἄλλος. Ὁ στερεώσας κατ' ἀρχάς

Χοροβατῶν ἐν οὐρανοῖς, καὶ τῇ πανσέπτῳ Τριάδι, μετὰ πάντων παρεστὼς τῶν ἁγίων, πάντων μέμνησο ἡμῶν διὰ παντὸς ἀείμνηστε, Πάτερ πατέρων θείων, Ἱεραρχῶν τε ἀγλάϊσμα.

Σὺ πάντων ὤφθης μιμητής, τῶν ἀπ' αἰῶνος ἁγίων, ἐκμαξάμενος αὐτῶν πάσας Πάτερ, ἀκριβῶς τὰς ἀρετάς, ὧν περ καὶ νῦν ὁμόσκηνος, ἐν οὐρανοῖς ὑπάρχεις, ὦ Βησσαρίων θεόπνευστε.

Σὺ ἀπὸ βρέφους ἱερός, ψυχὴν ὁμοῦ τε καὶ σῶμα, καὶ ἁγνὸς ἐν ἀμφοτέροις ὑπάρχων, λειτουργὸς ὤφθης Θεοῦ· διὸ καὶ μετὰ θάνατον, ἱερατεύεις ἄνω, ὦ Βησσαρίων θεόπνευστε.

Θεοτοκίον.

Εὐρυχωρότατον Θεοῦ, τοῦ ἀχωρήτου δοχεῖον, ἡ τὸ χρέος τῆς προμήτορος Εὔας, ἀποδοῦσα μόνη σύ· δίχα φθορᾶς γὰρ ἔτεκες, τὸν τῶν ἁπάντων Κτίστην, οὐ κατὰ φύσιν, ἢ ἔκτασιν.

Καταβασία. Ῥάβδος εἰς τύπον. Εἶτα τὸ κοντάκιον τῆς ἑορτῆς. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ. Κάθισμα. ἦχ. γ'. Τὴν ὡραιότητα.

Τὴν ὡραιότητα τῆς πανιέρου σου, ψυχῆς ἀείμνηστε, ὁρῶντες Ἄγγελοι, ταῦτα ἐβόων

ἐν τῇ σῇ ἐξόδῳ ἐν εὐφροσύνῃ. Δεῦρο οὖν ἀνάβηθι, πρὸς Θεὸν ὃν ἐπόθησας, δεῦρο εἰς αἰώνιον, Βησσαρίων πανήγυριν, λιπὼν τὰ κάτω, ἄνω πορεύου, καὶ συναγάλλου τοῖς Ἀγγέλοις.

Δόξα, ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Ἐπιστήσας σου τὸν νοῦν, ὥσπερ ἡνίοχον σοφέ, καθυπέταξας ψυχῆς, τὰ ἥττω μέρη, θυμικόν, ἐπιθυμίαν· καὶ ταῦτα παιδαγωγήσας, συνήγαγες ἐν σοὶ τὴν τετράριθμον, πασῶν τῶν ἀρετῶν τὴν γεννήτριαν· καὶ τὰς ψυχῆς αἰσθήσεις σου καθάρας, τῶν σαρκικῶν στήσας φύλακας, διῆλθες βίον, ἐν ὁσιότητι, καὶ δικαιοσύνῃ.

Καὶ νῦν τῆς ἑορτῆς, ἢ Θεοτοκίον.

Ὠδὴ δ'. Ἐπαρθέντα σε ἰδοῦσα.

Ἀπαστράψας ἐν τῷ κόσμῳ ὡς ἑωσφόρος, οὐκ ἐν κρυπτῷ δεόμενος, ἀλλ' ἐν ἀκρωρείᾳ, πάντοτε ἱστάμενος, ὑμνεῖν πάντας Κύριον, τὸν δοξάσαντά σε ἡτοίμασας.

Στρατιώτης ἀνεδείχθης, ὦ Βησσαρίων, σὺ τοῦ Χριστοῦ συνείδησιν, ἀγαθὴν καὶ πίστιν, ἔχων ἐν καρδίᾳ σου· δι' ὃ καὶ ἠγώνισαι, τὸν καλὸν ἀγῶνα μακάριε.

Κεχρισμένος ἀνεδείχθης ὡς Ἱεράρχης, παρὰ Χριστοῦ χριόμενος ἐν τῇ Ἐκκλησίᾳ· τούτου ἣν ἐκτήσατο, πλευρᾶς αὐτοῦ αἵματι, ὡς Ἀρχιεράρχης καὶ πρύτανις.



Θεοτοκίον.

Ὀλωλότα με εἰς πάθη τῆς ἀτιμίας, καὶ εἰς βυθὸν ποντούμενον, τὸν τῆς ἀμελείας, πάναγνε ἀνέλκυσον, ὡς κτίστην κυήσασα, τὸν τὰς ἁμαρτίας ἐξαίροντα.

Ἄλλος. Σύ μου ἰσχὺς Κύριε.

Λύχνος τοῖς σοῖς, ποσὶ τῳόντι γενόμενος ὁ Κυρίου, νόμος καὶ ταῖς τρίβοις σου, φῶς αἱ αὐτοῦ, ὄντως ἐντολαί, πρὸς ὑψηλοτάτας, καὶ θαυμαστὰς ἐπανήγαγε, τῶν ἀρετῶν σε πάτερ, κορυφὰς ἐκβοῶντα· Τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Τὸν Ἡλιοῦ, ἄριστα ζῆλον πραότητι, Μωϋσέως, μίξας ὁ ἀοίδιμος, οὗτος πατήρ, ἦν ὡς ἀληθῶς, ὁ αὐτὸς Ἡλίας, καὶ Μωϋσῆς ὅτε ἔπρεπεν, ἐνθέου πλήρης ζήλου, καὶ πραότητος ἅμα, Βησσαρίων καὶ πίστεως πρόμαχος.

Σὺ τῷ Χριστῷ, ἐπηκολούθησας ἔνδοξε· καὶ νεκρώσας, πάτερ τὰ σκιρτήματα, τὰ τῆς σαρκὸς ὤφθης ἐπὶ γῆς, ἄλλος ὡς Ἠλίας, τῷ θείῳ ζήλῳ πυρούμενος, κατὰ τῶν ἀνομούντων, ἐπικείμενος μάκαρ, διδαχαῖς τῶν ἁγίων ῥημάτων σου.

Θεοτοκίον.

Ὁ πλαστουργός, εὕρατο ἐκ τοῦ αἰῶνός σε, ἐν κοιλάδι κρίνον καθαρώτατον, ταῖς ἀρε-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ταῖς λάμπουσαν σεμνή, βάθει τῆς ἁγνείας, εὐρύτητι τῆς σεμνότητος, ἀνύψωσε τῷ γένει, τῶν ἀνθρώπων· διό σε, ὡς Μητέρα τοῦ Κτίστου δοξάζομεν.

Καταβασία. Εἰσακήκοα Κύριε.

Ὠδὴ ε'. Σὺ Κύριέ μου φῶς.

Σὺ ὕλην κοσμικήν, καὶ τὴν τύρβην ἀπέρριψας, σῆς ἅγιε διανοίας καὶ προσῆλθες Κυρίῳ, ἐν πάσῃ ὁσιότητι.

Σὺ βύσας τῆς ψυχῆς, καὶ τοῦ σώματος ὅσιε, αἰσθήσεις τῇ ἀπαθείᾳ, ὡς καλῷ κυβερνήτῃ, τῷ πνεύματι ὑπέταξας.

Σὺ ἤρθης ἱερῶς, ὡς ἐλαία κατάκαρπος, ὡς φοίνιξ καὶ ὡσεὶ κέδρος, τοῦ Θεοῦ ἐξανθήσας, καὶ πάντας εὐωδίασας.

Θεοτοκίον.

Σὲ μόνην καθαράν, εὑρηκὼς ὁ ὑπέρθεος, ἐν μήτρᾳ σου σωματοῦται, ἀπαθῶς καὶ ἀρρεύστως, ἁγνὴ ὁ παντοδύναμος.

Ἄλλος. Ἵνα τί με ἀπώσω;

Μυστικῶν ἀρωμάτων, Βησσαρίων ἔνδοξε, σκεῦος γενόμενος· τὰ γὰρ ἐκ τοῦ θείου, καὶ ἁγίου σου στόματος ῥήματα, ὑπὲρ πᾶσαν ἦσαν, μύρων ὀσμὴν παντοίων πάτερ, τῶν πιστῶν τὰς αἰσθήσεις ἐπεύφρανας.



Σὺ καὶ λόγοις καὶ ἔργοις, τὸν Θεὸν ἐδόξασας θεομακάριστε· διὰ τοῦτο δόξης, παρ' αὐτοῦ αἰωνίου τετύχηκας· ἀλλ' οἰκῶν ὦ πάτερ τοὺς οὐρανούς, μὴ ἐπιλάθῃ τῶν ἐν γῇ ἐκτελούντων τὴν μνήμην σου.

Ἀοράτῳ δυνάμει, πάτερ δυναμούμενος τοῦ θείου Πνεύματος, ἐπὶ γῆς ἐφάνης, ὡς ἀσώματος ἄλλος ἀοίδιμε· τῷ γὰρ θείῳ πόθῳ τοῦ λυτρωτοῦ σαυτὸν ἑνώσας, Ἱεράρχης ἐδείχθης πανάριστος.

Θεοτοκίον.

Φεῦ, καινότερον Κόρη, τοῦ ἀσπόρου τόκου σου οὔποτε γέγονεν· οὐδὲ ἀπ' αἰῶνος, φρικωδέστερον ὤφθη μυστήριον, τοῦ ἐν σοὶ Παρθένε. Βαβαὶ τοῦ ὕψους καὶ τοῦ βάθους, τῶν ἀρρήτων καὶ ξένων θαυμάτων σου.

Καταβασία. Ὦ τρισμακάριστον ξύλον.

Ὠδὴ ς'. Θύσω σοι μετὰ φωνῆς.

Σώφρονι, συλλογισμῷ χρησάμενος ὅσιε, ἐν ταῖς πενήτων κοιλάσιν, ἐσκορπίσω πλοῦτον· δι' ὃ θερίζεις εὐφροσύνην, ἐπαπολαύων πόνων τὰ ἔπαθλα.

Ἄνω σοι πρὸς οὐρανὸν ἡτοίμασται γέφυρα, μισθὸς τῷ ἐν Ἀχελώῳ, τοῖς δεινῶς προτέρω τοῦτον περῶσι, τοῦ ῥᾳδίως νῦν διαβαίνειν πήξαντι γέφυραν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ρύστην σε, τῶν αἰχμαλώτων Πάτερ γινώσκομεν, καὶ ἐν εἱρκτῇ κεκλεισμένων, καὶ ἐν θλίψει πάσῃ κεκακωμένων, καὶ ἀνάγκῃ· δι' ὃ ἡμᾶς κακώσεως λύτρωσαι.

Θεοτοκίον

Ἴθυνον, πρὸς σωτηρίους ὅρμους με Δέσποινα, τῶν λογισμῶν καταιγίδι, καὶ παθῶν τῇ θλίψει ἀπεγνωσμένον, ἡ Σωτῆρα τῶν σὲ τιμώντων ἀποκυήσασα.

Ἄλλος. Ἱλάσθητί μοι Σωτήρ.

Ἱεραρχῶν καλλονή, καὶ θεῖον χαίροις ἀγλάϊσμα, Πατέρων ὄντως ὀφθείς, Βησσαρίων ἥδυσμα· ναί, χαίροις ἀοίδιμε, Ἱεράρχα χαίροις, ὁ κανὼν πάσης εὐθύτητος.

Καινοφανῶν ἀρετῶν, δημιουργὸς ὢν ὁ μέγιστος, Ἀρχιερεὺς ἀληθῶς Βησσαρίων ἔνθεος, ταχίστην ἀνάβασιν, δι' αὐτῶν ποιεῖται, πρὸς Θεὸν ὄντως τὴν φέρουσαν.

Διδασκαλίαις ταῖς σαῖς, ἡμεῖς ὦ Πάτερ ἑπόμενοι, ὡς ἐπὶ γῆς μετὰ σοῦ, καὶ ἄνω τὴν οἴκησιν, ὀφθείημεν ἔχοντες, οὐρανοπολῖτα, Βησσαρίων ἱερώτατε.

Θεοτοκίον.

Ἀῤῥήτου χαῖρε Θεοῦ, μεγαλουργίας διάκονος, ὀφθεῖσα Κόρη ἁγνή, πᾶσαν τῷ τόκῳ



σου, τὴν φύσιν θεώσασα, τῶν βροτῶν Παρθένε, τὸν Θεὸν βροτὸν γὰρ ἔτεκες.

Καταβασία. Νοτίου θηρός. Κοντάκιον. Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.

Τῷ ἰσαγγέλῳ Ἱεράρχῃ Βησσαρίωνι, τὰ ὑμνητήρια συμφώνως ἀναμέλψωμεν. Ἀπαστράπτει γὰρ τοῖς θαύμασιν ἐν τῷ κόσμῳ, καὶ λοιμοῦ ἀποδιώκει τὴν σκοτόμαιναν, καταπέμπων οὐρανόθεν δρόσον ῥώσεως, τοῖς κραυγάζουσι, χαίροις Πάτερ θεσπέσιε.

Ἕτερον.

Κατὰ δαιμόνων ἐκ Θεοῦ τὰ νικητήρια, ἐκ βρέφους πάτερ, εἰληφὼς Πανιερώτατε· καὶ ἰσάγγελος γενόμενος ἐν ἀνθρώποις, εἰς οὐράνια μετέστης νῦν σκηνώματα. Διὰ τοῦτο καὶ ἡμῖν τοῖς κάτω μένουσι, δεῖ κραυγάζειν σοι, χαίροις Πάτερ θεσπέσιε.

Ὁ Οἶκος.

Ἄγγελοι, καθορῶντες τὴν ἁγίαν ψυχήν σου ἐκ γῆς ἀνερχομένην, ὦ Πάτερ, πρὸς τὰς ἐπουρανίους μονάς, ἀρετῶν ἐνθέων ἀστραπαῖς λάμπουσαν, ἐχόρευον, καὶ ἔκραζον, τρισόλβιε, πρὸς σὲ τοιαῦτα.

Χαῖρε πασῶν ἀρετῶν ἐργάτα.
Χαῖρε πασῶν κακιῶν διῶκτα.
Χαῖρε, σωτηρίας πολλῶν ὀφθεὶς πρόξενος.



ΠΑΝΕΛΛΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΑΘΗΣ

Χαῖρε ἀπωλείας πολλοὺς ὁ ῥυσάμενος.
Χαῖρε, φόβου θείου πάντοτε πλήρης ὢν ἐν
προσευχαῖς.
Χαῖρε, λόγου θείου πάντοτε πλήρης ὢν ἐν διδαχαῖς.
Χαῖρε, ὅτι θρεμμάτων λογικῶν ποιμὴν ὤφθης.
Χαῖρε, ὅτι διώκτης νοητῶν λύκων ὤφθης.
Χαῖρε, κλεινῶν Πατέρων διάδοχε.
Χαῖρε, ἁγίων πάντων συμμέτοχε.
Χαῖρε, τῶν κάτω καλὲ οἰκονόμε.
Χαῖρε, τῶν ἄνω Θεοῦ κληρονόμε.

Χαίροις, Πάτερ θεσπέσιε.

Τὸ Συναξάριον τῆς ἡμέρας· εἶτα τὸ παρόν.

**Τῷ αὐτῷ μηνί, ιε'. μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Βησσαρίωνος Ἀρχιεπισκόπου Λαρίσσης.**

Στίχ. Γῆθεν μεταστάς, Βησσαρίων ἐν πόλῳ.
Κἀκεῖ ἀρωγὴρ ἐστι σὺν θυηπόλοις.
Πέμπτῃ καὶ δεκάτῃ θάνε Θεσσαλίας σκοπὸς Ἑλλάδος.

*Στίχοι ἕτεροι εἰς τὴν ἁγίαν κάραν.*

Αὕτη τίς ὀσμή; οὐ γηρά τις πέλει,
Ἀρωμάτων δ' ἥκιστα· ὥς τέ τι ξένον.
Ἄρρητος ὀδμὴ θαυματοβρύτου κάρας,
Βησσαρίωνος τοῦ Λαρίσσης ποιμένος.
Γνοὺς προσκύνησον, καὶ κατασπάζου πόθῳ.

Οὗτος ὁ ἐν ἁγίοις Πατὴρ ἡμῶν Βησσαρίων ἐκ Κώμης ἦν τῶν περὶ τὰ τέρματα Μακεδονίας, μᾶλλον δὲ Θεσσαλίας μεγάλων Πυλῶν, ἐξ ὀρθοδόξων γονέων καὶ ἱερῶν γεννηθείς τε καὶ ἀνατραφείς. Γράμματα δὲ μεμαθηκώς, καὶ ἤδη που δεκαετὴς γενόμενος, ἐν ἔρωτι γενόμενος τοῦ μοναχικοῦ βίου καὶ σχήματος, τῷ ὄντι μοναχικωτάτῳ Μάρκῳ Μητροπολίτῃ Λαρίσσης φοιτᾷ· καὶ συχνὸν χρόνον μετ' αὐτοῦ διαμείνας, καὶ κανονικῶς τοὺς ἱερατικοὺς βαθμοὺς διαμείψας, ἐπίσκοπος παρ' αὐτοῦ Δομενίκου καὶ Ἐλασσῶνος προχειρίζεται. Ἀλλ' ὁ τῆς πόλεως δῆμος ἔκ τινος ἔριδος, ἢ μᾶλλον εἰπεῖν οἰήσεως καὶ ἀπαιδευσίας, τοῦτον οὐ προσδέχονται· ἡ δὲ πρόφασις, ὅτι ἦν ποτε τιμηθὲν εἰς Ἀρχιεπισκοπὴν τὸ τούτων πόλισμα· διὸ καὶ ἀνοήτως προσελθόντες τῷ τότε Πατριάρχῃ, χρυσολήπτῳ μᾶλλον ἢ θεολήπτῳ, ἐπίσκοπόν τινα λαμβάνουσι παρ' αὐτοῦ, Νεόφυτον τοὔνομα, μετὰ θάνατον ἄλυτον εὑρεθέντα. Οὗτος δὲ ὁ τοῦ Χριστοῦ μιμητὴς εἰς οὐδὲν τὸ πρᾶγμα θέμενος, μάλιστα δὲ καὶ λαβὴν ἡσυχίας τοῦτο δραξάμενος, προσέμενε τῷ κατὰ πνεῦμα αὐτοῦ Πατρὶ Μάρκῳ, θεραπεύων κατὰ πάντα τοὺς προσμένοντας ἐν τῇ Ἐκκλησίᾳ πτωχούς τε καὶ ἀσθενεῖς, ἔργῳ καὶ λόγῳ. Οὕτως οὖν καρτερήσας ἐνιαυτοὺς τέσσαρας, τῆς τῶν Σταγῶν ἐπισκοπῆς ποιμένος χηρευσάσης, ἐξαιτεῖται παρὰ τοῦ λαοῦ εἰς τὸ ἐξάρχειν αὐτῶν ἐπιτροπικῶς· οὗ τινος γενομένου, καὶ χρόνους προσμείνας ἓξ ἐν ἐκείνῃ τῇ ἐπισκοπῇ, πολλὰς ἐπηρείας καὶ ὑπερορίας ὑπέμεινε διά τινος χαιρεκάκου καὶ ἀνιέρου Δομετίου καλουμένου· τοῦ δὲ Ἱερωτάτου Μάρκου τὸν βίον ἀπολιπόντος, καὶ πρὸς τὰς ἐκεῖσε ἀπάραντος μακαρίους μονάς, ψήφῳ καὶ αἰτήσει τῶν τῆς ἐπαρχίας ἐπισκόπων, τῶν τε κληρικῶν καὶ παντὸς τοῦ λαοῦ, διάδοχος τοῦ Λαρισσαίων θρόνου παρὰ τοῦ Πατριάρχου Ἱερεμίου καθίσταται. Ἀλλὰ τίς τὰς μετὰ ταῦτα θεαρέστους αὐτοῦ πράξεις ἐξαγγελεῖ; Τὰς τῶν αἰχμαλώτων ἀναρρύσεις, τὰς εἰς τοὺς λιμώττοντας καὶ δεομένους ἐπικουρίας καὶ χορηγίας, τὰς ἐν ποταμοῖς γεφύρας· καὶ μαρτυρεῖ εἰσέτι τὸ τούτου ἀξιόλογον ἔργον ἐν Λευκοποτάμῳ, ὅστις ὑπὸ τῶν ἐγχωρίων Λευκοπόταμος,ἐκ Πίνδου εἰς Αἰτωλίαν κατερχόμενος, ὀνομάζεται, ὑπὸ δὲ τῶν ποιητῶν Ἀργυροδίνης Ἀχελῷος· ᾧ ἔργῳ οὐδεὶς πρὸ τούτου τοῦ ἁγίου ἐν τοιούτῳ χωρίῳ ἐπεχείρησε διὰ τὸ ῥαγδαῖον ἐν τοῖς ὄμβροις τοῦ ῥεύματος καὶ τὸν συρφετόν· ἀλλὰ καὶ τὴν νῦν ὁρωμένην περικαλλῆ μονὴν τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, πλησίον τῆς αὐτοῦ κώμης ἐν τῷ ὄρει, αὐτὸς πρῶτος συνεστήσατο, καὶ τὰ θεμέλια ταύτης ἐπήξατο· εἰ καὶ ὑπὸ τοῦ αὐτοῦ ἀδελφιδοῦ Νεοφύτου Ἀρχιερέως, καὶ ἑτέρων ἐπισκόπων τῆς αὐτῆς ἐπαρχίας, καὶ τῶν παρόντων

ἀδελφῶν εἰς τὸ κρεῖττον ὕστερον μετεσκευάσθη. Εἶχε δὲ συναντιλαμβανόμενον ἐν ἅπασι καὶ τὸν ὁμαίμονα, τὸν ὁσιώτατον Ἰγνάτιον, ἐπίσκοπον Καππούας καὶ Φαναρίου· καὶ οὕτω καλῶς καὶ θεοφιλῶς τὰ κατ' αὐτὸν καὶ τοὺς ὑπ' αὐτὸν διαθείς, καὶ οἰκονομήσας, καὶ πεντηκοντούτης ἐγγύς που γενόμενος, πρὸς Κύριον ἐξεδήμησεν ἐν ἔτει ͵ζμθ'. Ἰνδικτιῶνος δ'. ἐν μηνὶ Σεπτεμβρίῳ ιδ'. αφμα'. Οὗ ταῖς ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Ἐν τῇ καμίνῳ Ἀβραμιαῖοι.

Ὡς Ἱεράρχης, ὡς τοῦ Χριστοῦ διάκονος πεφυκώς, πίστεως τοῖς λόγοις τρέφων τὴν σὴν ψυχήν, ἐν ἀγάπῃ καὶ ἐν Πνεύματι, πιστοῖς μετέδωκας, τοῦ ἐν σοὶ χαρίσματος Ἱερώτατε.

Νῦν κατοπτεύεις, οὐκ ἐν αἰνίγματι δόξαν τὴν Θεϊκήν, οὐδ' ὡς ἐν ἐσόπτρῳ, βλέπεις τὰ μυστικά, ἀλλὰ πρόσωπον πρὸς πρόσωπον, ὁρᾷς τὰ ἄδυτα, εὐλογημένος κράζων σὺ Κύριε.

Συνεορτάζει ἡ Λαρισσαίων πόλις ἡ Θετταλῶν, πίστει συνελθοῦσα θήκην ἐπὶ τὴν σήν, τῶν λειψάνων τὴν μυρίπνοον, σὺν τοῖς μονάζουσιν, ἐν τῷ ναῷ Κυρίου ὃν ἔπηξας.

Θεοτοκίον.

Ὁλολαμπῆ σε, καὶ φωτοφόρον θεῖον σκήνωμα, πόῤῥωθεν εἰδώς, ὁ θίασος Προφητῶν, ἐμπνεόμενοι ἐκραύγαζον, εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς δόξης σου Κύριε.



Ἄλλος Θεοῦ συγκατάβασιν.

Οὐ τέθνηκας ἅγιε· Θεῷ γὰρ ζῶν τις, οὐκ ἀποθνήσκει ποτέ. Διὰ τοῦτο, ὦ Πάτερ ἡμῶν, τῶν τέκνων μὴ ἐπιλάθῃ τῶν σῶν, ἀλλ' ἱκεσίαις ταῖς σαῖς καταξίωσον, τυχεῖν καὶ πάντας ἡμᾶς τῆς αἰωνίου ζωῆς.

Σὺ σπείρας ἐν δάκρυσιν, ἐν εὐφροσύνῃ ζωῆς συνάγεις καρπούς· ἀποθήκας οὖν Πάτερ, ἐπουρανίους πληρώσας πόνων ἐκ σῶν, τρυφᾷς ἀλήκτως, καὶ ψάλλεις συμψάλλουσιν, εὐλογητὸς ὁ Θεός, ὁ τῶν πατέρων ἡμῶν.

Ἀνύστακτον ἔχων σου, τὸ ὄμμα Πάτερ διὰ παντὸς τῆς ψυχῆς, ἡνωμένος ὑπῆρχες, καὶ κάτω μένων τῷ ἐν ὑψίστοις Θεῷ· διὸ καὶ ψάλλων ἀπαύστως ἐκραύγαζες, εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Νοῆσαι οὐ δύνανται, τὸν ξένον τρόπον τῆς σῆς λοχείας ποτέ, οὐχ οἱ ἄνθρωποι μόνον, ἀλλ' οὐδ' αἱ ἄνω δυνάμεις πᾶσαι ἁγνή. Βαβαὶ Παρθένε τοῦ ὕψους τῆς δόξης σου, εὐλογητὸς ὁ ἐκ σοῦ, τεχθεὶς ἀσπόρως Θεός.

Καταβασία. Ἔκνοον πρόσταγμα. Ὠδὴ η'.
Χεῖρας ἐκπετάσας Δανιήλ.

Ἵνα θησαυρὸν ἐν οὐρανῷ, κομισῃ ἄσυλον, καὶ ἀδαπάνητον, ἐν γῇ σὸν πλοῦτον διένειμας,

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

πενομένοις ἀναπήροις τε, ὡς τῷ Κυρίῳ τὰ αὐτοῦ παρέχων ὅσιε, εὐλογεῖτε κράζων τὰ ἔργα τὸν Κύριον.

Πλήκτης, οὐδαμῶς τ' αἰσχροκερδής, οὐδόλως πάροινος, αὐθάδης ἥκιστα, ἀλλ' ἐργάτης ἀνεπαίσχυντος, ἀνεπίληπτος καὶ ἄμαχος, διδακτικὸς ἐπιεικής, καὶ ἀφιλάργυρος, ἀνεδείχθης, τῆς Ἐκκλησίας καλῶς προϊστάμενος.

Λόγῳ σου τὸν βίον παραθείς, ἐμπρέπων ἄριστα, καὶ κατ' ἀμφότερα, ἐφάνης δίκαιος ὅσιος, ζυγοστάτης τε σοφώτατος· τῆς εὐσεβείας διδαχὰς πᾶσι προθέμενος, εὐλογεῖτε πάντα τὰ ἔργα κραυγάζων τὸν Κύριον.

Θεοτοκίον.

Ἕνα τῆς Τριάδος ἐν γαστρί, ἐδέξω Πάναγνε, καὶ ἀπεκύησας· διὸ ψυχῆς ἐμὴν δύναμιν, τριμερῆ τῷ θείῳ Πνεύματι, ταῖς σαῖς πρεσβείαις κραταιὰν πᾶσιν ἀνάδειξον, τοῖς ἐχθροῖς μου, ἐπιτιθεμένοις μοι μάτην ἑκάστοτε.

Ἄλλος. Ἑπταπλασίως Κάμινον.

Ἐκ θησαυρῶν τοῦ Πνεύματος, καὶ αὐτὸς Πάτερ ἄνωθεν, πλοῦτον εἰληφὼς παρὰ Θεοῦ ἀκένωτον, πεινώσας μὲν ἔθρεψας, διὰ τοῦ θείου λόγου ψυχάς· σώματα δὲ πάλιν τῷ λιμῷ ἐκτακέντα, πανσόφως ἀνεκτήσω, χορηγῶν καθ' ἑκάστην, ὡς θεῖος οἰκονόμος, ἅπαν αὐτοῖς χρειῶδες.



Πάντων Πατὴρ γενόμενος, Ἀβραὰμ ὤφθης δεύτερος, τῷ Μελχισεδὲκ κατὰ τὴν τάξιν ἅγιε, προσφέρων ἀναίμακτον, Ἀρχιερεῖ θυσίαν Χριστῷ· καί γε μετὰ πάντων, καὶ τοῦ θείου σου οἴκου, ἐχθροὺς ὡς ἀλλοφύλους, ἐκδιώκων δικαίως τοὺς ἀποσχίζοντάς σου, καὶ φθείροντας τὴν ποίμνην.

Τῆς Λαρισσαίων πόλεως, ψήφῳ θείᾳ γενόμενος, σὺ Ἀρχιερεὺς ὦ Βησσαρίων ἄριστος, κανὼν ἀκριβέστατος, δικαιοσύνης ὤφθης ὁμοῦ, καὶ ὑπογραμμὸς τῶν ἀρετῶν πασῶν Πάτερ, ἐπιτιμῶν, ἐλέγχων, ὡς ὁ Παῦλος διδάσκει, πάντα ποιῶν ὡς πάντας, κερδήσῃς ὡς ἐκεῖνος.

Θεοτοκίον.

Ἡ μυροθήκη Δέσποινα, ἡ τὸ μύρον ἐκβλύζουσα, τὸ ὑπερφυὲς καὶ μυστικὸν τῆς χάριτος, ὃ πᾶσαν ἐπλήρωσε, τὴν οἰκουμένην θείας ὀδμῆς, ἡ φιλοτιμία ἡ κοινὴ τῶν ἀνθρώπων, Μαρία ἡ θεόπαις, σὲ ὑμνοῦσιν αἱ τάξεις, ἀγγέλων καὶ ἀνθρώπων εἰς πάντας τοὺς αἰῶνας.

Καταβασία. Εὐλογεῖτε παῖδες τῆς Τριάδος ἰσάριθμοι.

Ὠδὴ θ'. Λίθος ἀχειρότμητος ὄρους.

Κύκλος ἀρετῶν ἀνεδείχθης, ἐκ διαφόρων θεομάκαρ, παρ' ἀγωνοθέτου ἐστέφθης, Χριστοῦ τὴν χάραν ἀμαραντίνῳ στέφει· διὸ καὶ ἡμῶν μέμνησο τῶν ἑορταζόντων τὴν μνήμην σου.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ἔχων τὸν Χριστὸν ἐνοικοῦντα, θεοειδὴς ὅλος ἐδείχθης, ἐλεημοσύνην καὶ κρίσιν, ὀρθῶς συνάψας ἐν σεαυτῷ ὦ μάκαρ· διὸ ἐπαγαλλόμενος, νῦν ἀπολαύεις τῆς ἀλήκτου τρυφῆς.

Ἵλεων τὸν Κύριον Πάτερ ἀπεργασάμενος, ἱκέταις ἐν εἰρηνικῇ καταστάσει, ἡμῶν τὸν βίον διακυβέρνησον, καὶ ἐπηρείας Δράκοντος τῆς τοῦ νοητοῦ ἐλευθέρωσον.

Θεοτοκίον.

Νὺξ μοι τῶν παθῶν ἐπανέστη, καὶ νυσταγμῷ τῆς ἀμελείας, ὅλος συνεσχέθην ὁ τάλας, κακῶς διάγων ὅλον τὸν βίον μου, ἀλλ' ἡ τὸ φῶς κυήσασα, φώτισον **Κόρη** τὴν καρδίαν μου.

Ἄλλος. Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός.

Ἐμὲ τὸν ὑμνογράφον Πάτερ τὸν σόν, σὺν ἐμοὶ δὲ καὶ πάντας τοὺς ψάλλοντας, ὃν ἐκ ψυχῆς ὕμνον σοι προσάγω, τοῦτον ἐγώ, ταῖς πρὸς Θεὸν πρεσβείαις σου· ἔνθα παμμακάριστε νῦν οἰκεῖς, συνάγαγε καὶ δεῖξον, υἱοὺς καὶ κληρονόμους, τῆς βασιλείας ἧς περ ἔτυχες.

Ὧν ἔτυχες στεφάνων παρὰ Θεοῦ, καὶ γερῶν Βησσαρίων πανθαύμαστε, δὸς καὶ ἡμᾶς, διὰ πρεσβειῶν σου Πάτερ τυχεῖν, τῇ ἀοράτῳ πάντοτε, πάντας ἐπισκέψει σου συντηρῶν, ἁπάσης ἀνωτέρους, κακίας ἀοράτων, καὶ ὁρατῶν ἐχθρῶν τοὺς δούλους σου.



Ὁ ὕμνος εἰ καὶ πέρας ἔσχεν ὁ σός, ἀλλ' ἡμῶν ὁ πρὸς σὲ πόθος ἅγιε, διηνεκής· παῖδες φιλοπάτορες γὰρ ἡμεῖς, σὺ δὲ Πατὴρ φιλόστοργος, πάλιν ἱερώτατε πεφυκώς, ἀχώριστος τῶν τέκνων, τῶν σῶν ἡμῶν καὶ ὧδε, καὶ ἐν ἡμέρᾳ ἔσο κρίσεως.

Θεοτοκίον.

Συμπέρασμα θεόλεκτον Προφητῶν, Ἀποστόλων Μαρτύρων τὸ κήρυγμα, τῶν Ἀσκητῶν, τύπος καθαρότητος καὶ σεπτόν, τῶν Ἀρχαγγέλων καύχημα, καὶ τῆς θεαρχίας καταγωγή, πτωχῆς ἐκ διανοίας, προσδέχου Θεοτόκε, μετ' εὐμενείας τὸ ἐφύμνιον.

Καταβασία Μυστικῶς εἶ Θεοτόκε παράδεισος.

Ἐξαποστειλάριον Ἐν πνεύματι τῷ ἱερῷ.

Πανήγυρις χαρμόσυνος, καὶ ἱερὰ ἐφέστηκε, τοῦ Ἱεράρχου σήμερον, ἡ πανσεβάσμιος μνήμη, ᾀσματικὴν εἰς χορείαν, συγκαλοῦσα ἅπαντα τὰ στίφη τῆς Ἐκκλησίας, ὕμνοις ψαλμοῖς τε καὶ ᾠδαῖς, συναθροίσθητε φαιδρῶς, πνευματικῶς ἑορτάσαι.

Ἕτερον πρὸς τό : Γυναῖκες ἀκουτίσθητε

Τὸν μέγαν Βησσαρίωνα, Λαρίσσης τὸν ὑπέρμαχον, καὶ Θετταλίας ἁπάσης, φρουρὸν καὶ ὄντως προστάτην, Ἑλλάδος τε τὸ καύχημα, καὶ τῆς Ἠπείρου ἄκουσμα, καὶ τὸ τῆς

Τρίκκης τείχισμα, ἀνευφημήσωμεν πάντες, καὶ καταστέψωμεν ὕμνοις.

Καὶ τῆς ἑορτῆς. Σταυρὸς ὁ φύλαξ. Εἰς τοὺς Αἴνους. Πᾶσα πνοή· ἱστῶμεν στίχους ς΄. καὶ ψάλλομεν τοῦ Σταυροῦ προσόμοια γ΄. Καὶ τοῦ Ἱεράρχου προσόμοια γ΄. Εἰ δὲ ἐν ἄλλῃ ἡμέρᾳ τύχοι, εἰπὲ μόνον τοῦ ἁγίου· ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσιν.

Ἱερέων ἐν χρίσματι, λαμπρυνθεὶς τὴν διάνοιαν, τοῦ Χριστοῦ τὸ ποίμνιον καθωδήγησας, ἐπὶ νομὴν τὴν σωτήριον, καὶ νῦν ἐξεδήμησας πρὸς τὴν ἄλυπον ζωήν, πρὸς τὸ φῶς τὸ ἀνέσπερον, ἔνθα πέφυκε, τῆς τρυφῆς ὁ χειμάῤῥους καὶ δικαίων, ἡ πληθὺς καὶ τῶν ὁσίων, ὦ Βησσαρίων θεόπνευστε.

Καὶ φρονήσει λαμπόμενος, καὶ τῇ πίστει κοσμούμενος, καὶ καλῶν μεθέξεσι σεμνυνόμενος, πρὸς τὸν Θεὸν ἐξεδήμησας, τὰ γέρα ληψόμενος, τῶν καμάτων σου στεῤῥέ, καὶ τῶν πόνων τὰ δράγματα· ὅθεν σήμερον, τὴν ἁγίαν σου μνήμην ἐκτελοῦμεν, τὸν Θεὸν δοξολογοῦντες, ὦ Βησσαρίων θεόπνευστε.

Ἐν καθέδρᾳ ἐκάθησας, ὑψηλῇ ἱερώτατε, ταπεινώσει πνεύματος σεμνυνόμενος, καὶ εὐλογῶν τελεώτατα, λαοὺς ἐπιθέσεσι, τῶν ἁγίων σου χειρῶν, τῷ Θεῷ καθιέρωσας· ὅθεν ἅπασα, ἡ σεπτὴ Ἐκκλησία, ὡς ποιμένα, ἱερὸν ἀνευφημεῖ σε, ὦ Βησσαρίων θεόπνευστε.



Τὴν πανένδοξον κάραν σου, Βησσαρίων μακάριε, κατὰ χρέος ἅπαντες προσπτυσσόμεθα, καὶ ὑμνῳδίαις γεραίρομεν, καὶ πόθῳ δοξάζομεν, ὡς προχέουσαν ἡμῖν, ἀεννάως τοῖς χρῄζουσι, τὰ ἰάματα· καὶ ἐξαίρουσαν Πνεύματι Ἁγίῳ, παθημάτων ἐπηρείας, καὶ ἐκ δεινῶν περιστάσεων.

Δόξα. ἦχος πλ. β΄.

Ἐν ταῖς ἀγρύπνοις σου προσευχαῖς, ἔχων ἀκλινεῖς πρὸς Θεόν, τοὺς τῆς ψυχῆς σου νοεροὺς ὀφθαλμούς, ἡγιασμένε ἀληθῶς Βησσαρίων Πατὴρ ἡμῶν, μετὰ ἀνθρώπων, ἐπὶ γῆς μὲν τῷ σώματι, μετὰ Ἀγγέλων, ἐν οὐρανῷ δὲ ὑπῆρχες τῷ Πνεύματι. Διὰ τοῦτο νῦν καὶ ἡμεῖς, ἄνθρωπον οὐράνιον, καὶ ἐπίγειόν σε ὀνομάζομεν Ἄγγελον· καὶ χαίροις βοῶμεν, ὁ τὴν τῶν ἀσωμάτων πολιτείαν, ἐν τῷ σῷ ἐπιδειξάμενος σώματι· χαίροις, ὁ τὴν στενὴν καὶ τεθλιμμένην βαδίσας ὁδόν, καὶ διὰ ταύτης ἀνελθών, εἰς τὰ πλάτη τῆς οὐρανίου ζωῆς· ὁμόσκηνε ἀσκητῶν, ὁμότροπε Ἀποστόλων, Ἱεραρχῶν συμπολῖτα, συγχορευτὰ τῶν Ἀγγέλων, κληρονόμε βασιλείας οὐρανῶν, ἧς καὶ ἡμεῖς ἀξιωθείημεν, ταῖς πρὸς Κύριον πρεσβείαις σου.

Καὶ νῦν. Τῆς ἑορτῆς, ἢ Θεοτοκίον. Δοξολογία μεγάλη.

Καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν τυπικά. Καὶ ἐκ τοῦ Κανόνος τῆς ἑορτῆς ᾠδὴ γ΄. Καὶ τοῦ Ἱεράρχου ᾠδὴ ς΄. Προκείμενον τοῦ Ἀποστόλου, ἦχος δ΄. Τὸ στόμα μου λαλήσει σοφίαν. Στίχ. Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη. Ἀπόστολον δέ, καὶ Εὐαγγέλιον ζήτει τοῦ Χρυσοστόμου, Νοεμβρίου ιγ΄. Κοινωνικόν. Εἰς μνημόσυνον. Δίδοται καὶ ἅγιον ἔλαιον.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# Ποίημα Ἀρχιμανδρίτου Ἰωσήφ

**Κανὼν Παρακλητικὸς** ψαλλόμενος μετὰ τῆς ἁγίας κάρας πρὸς τὸν ἅγιον **Βησσαρίωνα.** Εὐλογήσαντος τοῦ ἱερέως, ἀρχόμεθα τό, Κύριε εἰσάκουσον. Εἶτα, Θεὸς Κύριος. Καὶ τὰ παρόντα ταῦτα εἰς ἦχον δ΄. Τῇ Θεοτόκῳ ἐκτενῶς.

Τῷ τοῦ Χριστοῦ ἱερομύστῃ προσδράμωμεν, οἱ ἐν νόσοις χαλεπαῖς κατακείμενοι, ἐν κατανύξει κράζοντες ἐκ βάθους ψυχῆς· Ἅγιε βοήθησον, Βησσαρίων Θεόφρον, σπεῦσον ἐξελοῦ ἡμᾶς τῆς δεινῆς ἀσθενείας, μὴ ἀποστρέψῃς ὑγείας κενούς, τοὺς προσκυνοῦντας τὴν πάνσεπτον κάραν σου.

Δόξα τὸ αὐτό. Καὶ νῦν, Οὐ σιωπήσωμέν ποτε Θεοτόκε. Καὶ εὐθὺς ὁ Ν΄. Ὁ Κανών. Ὠδὴ α΄. ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Νόσῳ συνεχόμενος χαλεπῇ, πρὸς σὲ καταφεύγω, τὴν ὑγείαν ἐπιζητῶν, ὦ Πάτερ θεόφρον Βησσαρίων, ὀξύς μοι νῦν ἰατρὸς ἐπιφάνηθι.

Πειρασμῶν κλονοῦσί με προσβολαί, δεινῆς ἀθυμίας, ἐμπιπλῶσαί μου τὴν ψυχήν, γαλήνην παράσχου Βησσαρίων, τῷ τῇ θείᾳ κάρᾳ σου, πίστει προστρέχοντι.

Χριστὸν τὸν Σωτῆρα Πάτερ σοφέ, δυσώπει ἀπαύστως, λυτρωθῆναί με τῶν κακῶν· σοὶ γὰρ νῦν προσφεύγω Βησσαρίων, πνεῦμα ἀνατείνω καὶ διάνοιαν.



Θεοτοκίον.

Νοσοῦντα τὸ σῶμα καὶ τὴν ψυχήν, ἐπισκοπῆς θείας, καὶ προνοίας τῆς παρὰ σοῦ, ἀξίωσον μόνη Θεομῆτορ, ὡς ἀγαθὴ ἀγαθοῦ τε λοχεύτρια.

Ὠδὴ γ΄. Ὁ Εἱρμός. Σὺ τὸ στερέωμα.

Σὺ ἡμῶν βοήθεια, ὦ Βησσαρίων μακάριε, σὺ ἰατρός, παθῶν ἀνιάτων, καὶ δεινῶν ἀπολύτρωσις.

Κάρα σου ἡ πάνσεπτος, πηγάζει χύδην τὰ θαύματα, πᾶσι πιστοῖς, τοῖς προσκαλουμένοις, εἰς παθῶν ἀπολύτρωσιν.

Ξένα καὶ παράδοξα, βλύζουσι θαύματα ἔνδοξε, κάρας ἐκ σῆς, τοῖς πιστῶς αἰτοῦσι, τὴν θερμήν σου ἀντίληψιν.

Θεοτοκίον.

Δὸς ἡμῖν βοήθειαν, ταῖς ἱκεσίαις σου Πάναγνε, τὰς προσβολὰς ἀποκρουομένη, τῶν δεινῶν περιστάσεων.

Διάσωσον ἐκ νοσημάτων τοὺς δούλους σου Βησσαρίων, ὅτι πίστει μετὰ Θεὸν εἰς σὲ καταφεύγομεν, τὴν κάραν σου προσκυνοῦντες ἐκ πόθου.

Ἐπίβλεψον ἐν εὐμενείᾳ, καὶ τὰ ἑξῆς. Εἶτα μνημονεύει ὁ Ἱερεύς. Καὶ λέγομεν Τροπάριον. Πρεσβεία θερμή.

Νοσοῦντας ἡμᾶς, καὶ πίστει καταφεύγοντας, πρὸς σκέπην τὴν σὴν Βησσαρίων μακά-

ριε, ἴασαι τάχος δεόμεθα, ὡς ἰατρὸς πανάριστος· καὶ ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, ἐκ πόθου τὴν κάραν σου γεραίροντας.

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.

Τοὺς θορύβους τοῦ βίου μου, Ἱεράρχα κόπασον ταῖς πρεσβείαις σου, καὶ τὸν κλύδωνα κατεύνασον, τῶν παθῶν ψυχῆς καὶ τοῦ σαρκίου μου.

Ὁ Χριστὸς ὃν ἐπόθησας, καὶ δι' ὃν ἡγήσω πάντα ὡς σκύβαλα, κεφαλὴν σὴν ἐδωρήσατο, τοῖς νοσοῦσι μέγα παραμύθιον.

Ἀπολαύοντες πάντοτε, Βησσαρίων Πάτερ τῶν δωρημάτων σου, ἀναμέλπομεν ἐφύμνιον, οἱ γινώσκοντές σε εὐεπήκοον.

Θεοτοκίον.

Οἱ ἐλπίδα καὶ στήριγμα καὶ τῆς σωτηρίας τεῖχος ἀκράδαντον, κεκτημένοι σε πανύμνητε, δυσχερείας πάσης ἐκλυτρούμεθα.

Ὠδὴ ε'. Φώτισον ἡμᾶς.

Ἔμπλησον χαρᾶς, Βησσαρίων τὴν ἐμὴν ψυχήν, βεβυθισμένην ἐν περιστάσεσι, καὶ ἐπιφοραῖς ἀνιαραῖς κινδυνεύουσαν.

Λύτρωσον ἡμᾶς ἐκ κινδύνων Βησσαρίων σοφέ, ὡς παῤῥησίαν ἔχων πρὸς Κύριον, καὶ δυσώπει ἐκτενῶς ὑπὲρ ἡμῶν τὸν Θεόν.



Παῦσον τὴν δεινήν, τῆς ἐμῆς ψυχῆς ἀσθένειαν, ἐν κατανύξει θερμῇ δέομαι, ὦ Βησσαρίων Ἱεράρχα παμμακάριστε.

Θεοτοκίον.

Ἴασαι Ἁγνή, τῶν παθῶν μου τὴν ἀσθένειαν, ἐπισκοπῆς σου ἀξιώσασα, καὶ τὴν ὑγείαν τῇ πρεσβείᾳ σου παράσχου μοι.

Ὠδὴ ϛ'. Ἱλάσθητί μοι Σωτήρ.

Ἡ σὴ σεπτὴ κεφαλή, θεόθεν χάριν ἐδέξατο, ἰᾶσθαι πάθημα βροτῶν, ἐλαύνειν τε δαίμονας, λοιμῷ συσχεθέντας τε, τῷ πανώλει τάχος, ἐξαιρεῖσθαι παμμακάριστε.

Ἐβίωσας ἐπὶ γῆς ὡς ἄσαρκος παναοίδιμε, ἰσάγγελον δὲ τιμήν, Χριστός σοι δεδώρηται· διὸ καὶ ἡ κάρα σου, πηγάζει ὡς κρήνη, τοῖς νοσοῦσι τὰ ἰάματα.

Ἡ Λάρισσα ἐπὶ σοί, ἐν δίκῃ μάκαρ ἁβρύνεται, Δουσίκου δὲ σὴ μονή, δικαίως ἀγάλλεται, τὴν πάντιμον ἔχουσα, κεφαλήν σου Πάτερ θησαυρὸν ὥσπερ πολύτιμον.

Θεοτοκίον.

Ῥυσθείημεν τῶν δεινῶν, πταισμάτων ταῖς ἱκεσίαις σου, Θεογεννῆτορ Ἁγνή· καὶ τύχοιμεν Πάναγνε τῆς θείας ἐλλάμψεως, τοῦ ἐκ σοῦ ἀφράστως σαρκωθέντος Υἱοῦ τοῦ Θεοῦ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ — ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Διάσωσον ἐκ νοσημάτων τοὺς δούλους σου Βησσαρίων, ὅτι πίστει μετὰ Θεὸν εἰς σὲ καταφεύγομεν, τὴν κάραν σου προσκυνοῦντες ἐκ πόθου.

Ἐπίβλεψον ἐν εὐμενείᾳ κτλ. Ὁ Ἱερεὺς μνημονεύει, ὡς δεδήλωται. Καὶ μετὰ τὴν ἐκφώνησιν εὐθὺς τὸ Κοντάκιον.

Ἐπεφάνης σήμερον.

Κατανύξει κράξωμεν καὶ θερμῇ πίστει, Βησσαρίων ἅγιε, ἐκ τοῦ δεινοῦ λοιμοῦ ἡμᾶς, καὶ πάσης νόσου ἐκλύτρωσαι, τοὺς προσκυνοῦντας τὴν ἔνδοξον κάραν σου.

Καὶ εὐθὺς τὸ προκείμενον. Τὸ στόμα μου λαλήσει σοφίαν. Στίχ. Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη. Καὶ ὁ Ἱερεύς.

Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι.

**Ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου.**

Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ, καὶ ὄχλος μαθητῶν αὐτοῦ, καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς Ἰουδαίας, καὶ Ἱερουσαλήμ, καὶ τῆς παραλίου Τύρου καὶ Σιδῶνος· οἳ ἦλθον ἀκοῦσαι αὐτοῦ, καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν, καὶ οἱ ὀχλούμενοι ὑπὸ πνευμάτων ἀκαθάρτων, καὶ ἐθεραπεύοντο· καὶ πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι αὐτοῦ, ὅτι δύναμις παρ' αὐτοῦ ἐξήρχετο, καὶ ἰᾶτο πάντας· καὶ αὐτὸς ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς Μαθητὰς αὐτοῦ, ἔλεγε· Μακάριοι οἱ πτωχοί, ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ· μακάριοι οἱ πεινῶντες νῦν, ὅτι χορτασθήσεσθε· μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσετε· μακάριοί ἐστε, ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς, καὶ ὀνειδίσωσι, καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν ἕνεκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου· χαίρετε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε· ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς.



Καὶ εὐθύς, Δόξα. Ἦχος β'. Ταῖς τοῦ Ἱεράρχου. Καὶ νῦν, Ταῖς τῆς Θεοτόκου. Εἶτα, Ἐλέησόν με ὁ Θεός· καὶ τὸ παρὸν Τροπάριον. Πρὸς τό, Ὅλην ἀποθέμενοι.

Ψυχῇ τε καὶ σώματι, νοσοῦντες δεῦτε ἐν πίστει, νῦν κατασπαζόμενοι ἁγιάσθητε· νόσους γὰρ παύεται, δαίμονας ἐλαύνει, καὶ ψυχῆς ἰᾶται πταίσματα· καὶ γὰρ ἐδέξατο, χύδην ἐκ Κυρίου τὰς χάριτας, Βησσαρίων ὁ μέγιστος, ζήσας ἐπὶ γῆς ὥς περ ἄσαρκος· σημεῖα δὲ ταῦτα, τὰ θαύματα, καὶ κάρα ἡ σεπτή, ἣν προσκυνοῦντες δεόμεθα, σῶσον ἡμᾶς Κύριε.

Ὁ Ἱερεύς. Σῶσον ὁ Θεὸς τὸν λαόν σου, καὶ τὰ ἑξῆς.

Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Τῷ ἁγίῳ τεμένει, ἐν ᾧ σῶμα τὸ θεῖον σοῦ κατατέθειται, προστρέχων πᾶς τις πίστει, εὐμοιρεῖ ἰαμάτων, καὶ κραυγάζει γηθόμενος· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὢ θαῦμα, πῶς τῷ τάφῳ, ἀπεκρύβη ἡ κάρα, σοῦ Βησσαρίων σοφέ, ἡνίκα τὴν σορόν σου, τῆς πίστεως ὁ ξένος, κατεσύλει ὁ ἄθλιος. Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ὡς καλή, ὡς εὐώδης, Βησσαρίων παμμάκαρ, ὡς χαριτόβρυτος, ἡ κάρα σου τυγχάνει· διὸ καὶ εὐχαρίστως, γεγηθότες κραυγάζομεν· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ὄλβον σὲ ἰαμάτων, καὶ πηγὴν εὐσπλαγχνίας καὶ ἁγιότητος, καὶ τεῖχος σωτηρίας, νοσούντων τε ὑγείαν, ἐπιστάμενοι κράζομεν· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Σωμάτων μαλακίας, καὶ ψυχῶν ἀῤῥωστίας Θεογεννήτρια. τῶν πόθῳ προσιόντων, τῇ σκέπῃ σου τῇ θείᾳ, θεραπεύειν ἀξίωσον, ἡ τὸν Σωτῆρα Χριστὸν ἡμῖν ἀποτεκοῦσα.

Ὠδὴ η΄. Τὸν Βασιλέα τῶν Οὐρανῶν.

Τοὺς ἐκ λοιμοῦ τε καὶ πάσης ἄλλης ἀνάγκης, συσχεθέντας, Πάτερ Βησσαρίων, φύλαττε καὶ σῶζε, θερμῇ σου προστασίᾳ.

Τοὺς ἐν πίστει καὶ εὐλαβείᾳ ζητοῦντας, εἰς ἴασιν τὴν σὴν κάραν θεόφρον, φύλαττε καὶ σκέπε, εἰς πάντας τοὺς αἰῶνας.

Τὰς ἀμπελώνων τε καὶ ἀγρῶν ἀφορίας, νόσους τε βοσκημάτων ἀλόγων, ἄλθανον θεόφρον, εὐχαῖς σου εὐπροσδέκτοις.

Θεοτοκίον.

Τῶν πειρασμῶν σὺ τὰς προσβολὰς ἐκδιώκεις, καὶ παθῶν τὰς ἐφόδους Παρθένε, ὅθεν σε ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Ἑλλὰς σὺν Θετταλίᾳ, πέδον τε Βλαχίας, Ἠπείρου τόπος, τὴν κάραν ὑμνήσατε, τοῦ Βησσαρίωνος θείαν καὶ χαριτόβρυτον.



Πηγάζει γὰρ ὡς κρήνη, θαύματα τοῖς πόθῳ, προσκαλουμένοις αὐτὴν καὶ ἐκ πίστεως, καὶ διασώζει ἐκ πάσης βλάβης καὶ θλίψεως.

Τοὺς πόθῳ προσκυνοῦντας, τὴν σεπτήν σου κάραν, καὶ τὴν σὴν μνήμην φαιδρῶς ἑορτάζοντας, Πατὴρ ἡμῶν Βησσαρίων, πάντας εὐλόγησον.

Θεοτοκίον.

Κακώσεως ἐν τόπῳ, τῷ τῆς ἀσθενείας, ταπεινωθέντα Παρθένε θεράπευσον, ἐξ ἀῤῥωστίας εἰς ῥῶσιν μετασκευάζουσα.

Καὶ εὐθὺς τὰ μεγαλυνάρια. Ψαλλομένων δὲ τούτων, θυμιᾷ ὁ Ἱερεύς, ἔνθα γίνεται ἡ παράκλησις.

Ὁ τῶν Λαρισσαίων μέγας ποιμήν, καὶ τῶν μοναζόντων ὁ προστάτης καὶ ὁδηγός, Βησσαρίων Πάτερ, παμμάκαρ Ἱεράρχα, ἡμῶν τῶν σὲ τιμώντων ἀεὶ μνημόνευε.

Κάραν σου τὴν θείαν ὡς θησαυρόν, ἄσυλον πλουτοῦσα, Βησσαρίων ἡ σὴ Μονή, χαίρει καυχωμένη, καὶ σὲ ἀεὶ δοξάζει, τὸν ῥεῖθρα ἰαμάτων ἀναπηγάζοντα.

Δέησιν προσάγαγε τῷ Θεῷ, Βησσαρίων Πάτερ, ὑπὲρ τέκνων τῶν σῶν σοφέ, τῶν τὴν θείαν κάραν, τὴν σὴν ἐπιζητούντων, καὶ εὐλογίαν δίδου τούτοις καὶ ἔλεος.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Πᾶς ὁ τῶν Ὁσίων θεῖος χορός, καὶ Ἀρχιερέων Βησσαρίων στῖφος σεπτόν, θεῖόν σου τὸ πνεῦμα, ἐδέξαντο σὺν πάσῃ χαρᾷ ἐν τοῖς ὑψίστοις, ὡς τούτων σύσκηνον.

Τάγμασι τοῖς ἄνω συμπαρεστώς, θρόνῳ τῆς Τριάδος, καὶ σὺν στίφει Ἱεραρχῶν, καὶ χοροῖς Ὁσίων, θεόφρον Βησσαρίων, μνημόνευε τελούντων ἡμῶν τὴν μνήμην σου.

Βησσαρίων Πάτερ θαυματουργέ, ῥύου σοὺς ἱκέτας, ἐκ λιμοῦ τε καὶ τοῦ λοιμοῦ, πληγῆς τε ἀκρίδος, καὶ τελευτῆς τῶν ζώων, καὶ πάσης ἄλλης βλάβης ταῖς ἱκεσίαις σου.

Αἴγλης ἐμφορούμενοι τριλαμποῦς, ἐν μεθέξει θείᾳ, Βησσαρίων σὺν τῷ σοφῷ, Ἀχιλλείῳ ἅμα, καὶ τῷ Οἰκουμενίῳ, ἀκτῖνα φωτοφόρον ἡμῖν ἐκπέμψατε.

Ἐπισφράγισμα δὲ τούτων ψάλλεται καὶ ἡ Τιμιωτέρα, ἤτοι τὴν Τιμιωτέραν τῶν Χερουβίμ· καὶ τὰ ἑξῆς. Τὸ Τρισάγιον. Ὅτι σοῦ. Τροπάριον· Ἐλέησον ἡμᾶς· καὶ τὰ λοιπά. Ὁ Ἱερεύς· Ἐλέησον ἡμᾶς· καὶ τὰ ἑξῆς. Ψάλλομεν δὲ ἐν τέλει καὶ τὸ παρὸν Τροπάριον.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου, φύλαττε Πάτερ θεόφρον Βησσαρίων, ἵνα προσκυνῶμέν σου, κεφαλὴν τὴν χαριτόβρυτον.

Τροπάρια εἰς τὸν Ἁγιασμόν.

Τοὺς τὴν κάραν σου τὴν θείαν προσκυνοῦντας, καὶ τιμῶντας αὐτὴν μετὰ πίστεως, πάσης ἀνάγκης, Βησσαρίων λύτρωσαι.



Ἕτερον.

Προσκυνοῦμεν καὶ τιμῶμεν Βησσαρίων, τὴν σεπτήν σου κάραν καὶ τρισόλβιον, λοιμὸν γὰρ παύει τοῦ Χριστοῦ τῇ χάριτι.

Ἕτερον.

Οἱ ἐν νόσοις κατακείμενοι ἀθλίως, τῆς πανσέπτου Βησσαρίων κάρας σου, μόνῃ τῇ ψαύσει, τὴν ῥῶσιν λαμβάνουσι.

ΤΕΛΟΣ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# ΒΙΟΣ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΒΗΣΣΑΡΙΩΝΟΣ

*Ἀρχιεπισκόπου Λαρίσσης τοῦ θαυματουργοῦ.*

ΚΥΡΙΟΣ ἡμῶν Ἰησοῦς Χριστός, κηρύξας τὸ εὐαγγέλιον τῆς ἀγάπης, ἠξίωσεν ὅπως ἐν ἀνάγκῃ αὕτη χωρῇ μέχρις αὐταπαρνήσεως καὶ αὐτοθυσίας· ἡ δὲ διδασκαλία του αὕτη, ἣν ἐκύρωσε διὰ τοῦ θείου του αἵματος, ἐνέπνευσε τὸν βίον μυριάδων ὀπαδῶν του.

Ἐκτὸς τῶν Ἀποστόλων, οἵτινες ἐβάδισαν ἐπὶ τὰ ἴχνη τοῦ μεγάλου ἀρχηγοῦ των, μυριάδες μαρτύρων, ἐκ πάσης ἡλικίας καὶ τάξεως, ἀπέδειξαν διὰ τῶν ἔργων αὐτῶν καὶ τοῦ παραδείγματος ὅτι ἐγνώριζον νὰ πιστεύωσι καὶ νὰ ἀγαπῶσι κατὰ τὰς ὑποθήκας Ἐκείνου, ὅστις τὴν ἀγάπην καὶ τὴν αὐταπάρνησιν κατέστησεν ἰδίᾳ γνωρίσματα τῶν ἀληθινῶν μαθητῶν του. Μόνον δὲ ἡ χριστιανικὴ θρησκεία ἦτο ἱκανὴ νὰ δημιουργήσῃ τοιούτους χαρακτῆρας καὶ νὰ ἐμπνεύσῃ τοιαύτας ὑπὲρ τῆς πίστεως ἀφοσιώσεις, ποτισθείσας καὶ κρατυνθείσας διὰ χειμάρρων μαρτυρικῶν αἱμάτων, ὧν ἡ ῥοὴ ὑπῆρξεν ἀδιάλειπτος ἐπὶ τρεῖς ὅλους αἰῶνας.

Ἀλλ' ἡ χριστιανικὴ αὐταπάρνησις, ἥτις τὸν αὐστηρότερόν της τύπον λαμβάνει ἐν τῷ μαρτυρίῳ, καθ' ὃ προσφέρεται θῦμα ὑπὲρ τῆς πίστεως ἡ σωματικὴ ζωή, ἐκδηλοῦται ἔτι καὶ πραγματοποιεῖται ἐν τῇ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



ἐσωτερικῇ θυσίᾳ τοῦ ἐγὼ καὶ τῶν ἁμαρτωλῶν αὐτοῦ ἐνστίκτων καὶ ὁρμῶν, ἐν τῇ ὑποταγῇ ἁπασῶν ἡμῶν τῶν σωματικῶν, πνευματικῶν καὶ ἠθικῶν δυνάμεων εἰς τὸν νόμον τοῦ Κυρίου, ἐν τῇ καθημερινῇ τηρήσει τῶν ἐντολῶν αὐτοῦ, ἐν τῇ ἑκουσίῳ πολλάκις στερήσει καὶ αὐτῶν τῶν θεμιτωτέρων κοσμικῶν δικαιωμάτων, καὶ ἐν τῇ ὁλοσχερεῖ ἀφιερώσει τοῦ βίου εἰς τὴν λατρείαν τοῦ Θεοῦ καὶ τὴν ἀγάπην τοῦ πλησίον.

Ὁ Χριστιανισμὸς χωρὶς νὰ ἦνε, ὥς τινες ἐσφαλμένως ἰσχυρίσθησαν, ἐχθρὸς τοῦ γάμου, ὃν μάλιστα ἐξόχως ἐξηγίασεν, ἀναβιβάσας εἰς περιωπὴν μυστηρίου καὶ κηρύξας θεσμὸν ἀδιάλυτον, εἰκονίζοντα τὸν σύνδεσμον μεταξὺ Χριστοῦ καὶ Ἐκκλησίας, ἐπιτρέπει μ' ὅλον τοῦτο εἰς τοὺς *θέλοντας καὶ δυναμένους νὰ χωρήσωσι* νὰ προτιμήσωσι τὴν ἀγαμίαν, οὐχὶ ὅμως ὅπως ἐν αὐτῇ ἐκτρέπωνται εἰς ἡδονὰς ἀθεμίτους ἢ ἐπιδιώκωσι ῥᾳθυμίαν καὶ ἀπράγμονα ἄνεσιν, ἀλλ' ὅπως, ἀπηλλαγμένοι ὅλως ἐγκοσμίων μεριμνῶν, ἀφιερῶνται εἰς τὴν πνευματικὴν αὐτῶν τελείωσιν καὶ εἰς τὴν πλήρη καὶ ἀπρόσκοπτον ἐφαρμογὴν τῶν εὐαγγελικῶν ἐπιταγμάτων. Καὶ τοιουτοτρόπως ἀρκετὰ ἐνωρὶς ἐν τοῖς κόλποις τῆς χριστιανικῆς Ἐκκλησίας ἀνεφάνησαν παμπληθεῖς ἀδελφοί, πολιτευθέντες βίον αὐστηρᾶς ἐγκρατείας, νεκρώσαντες ἐν τῇ δυνάμει τοῦ Κυρίου τὰ μέλη τῆς σαρκός των, καὶ ζήσαντες πνευματικὴν κυρίως ζωὴν ἐν στενῇ ἑνότητι μετὰ τοῦ Θεοῦ καὶ ὑποταγῇ τελείᾳ εἰς τὰ κελεύσματα τοῦ νόμου του.

Αἱ πρὸς αὐστηρὰν ἐγκράτειαν αὗται τάσεις, ἀπὸ τοῦ γ'. μ. Χ. αἰῶνος, διὰ λόγους ποικίλους τῶν τότε καιρῶν ἐδημιούργησαν τὸν μακρὰν καὶ ἔξω τῶν πόλεων μοναχικὸν βίον, ὅστις ἐξύφανεν ὁλόκληρον ἰδίαν ἱστορίαν, διαφοροτρόπως δὲ ἐκρίθη καὶ ἐσχολιάσθη. Ἀναντίρρητον μ' ὅλα ταῦτα εἶνε ὅτι παρὰ τὰς μερικὰς παρεκτροπὰς καὶ τὰς καταχρήσεις, εἰς ἃς ἐξέπεσεν ἐν αὐτῷ ἀνθρωπίνη ἐμπάθεια καὶ ἀσθένεια, καὶ εἰς τὴν Ἐκκλησίαν καθ' ὅλου ὁ βίος οὗτος παρέσχε λαμπρὰς ὑπηρεσίας, εἴτε καταφύγιον παρασχὼν αὐτῇ ἐν ἡμέραις δεινῶν σάλων καὶ διωγμῶν, εἴτε ἀπολογητὰς καὶ πατέρας τοὺς κρατίστους ὑπὲρ αὐτῆς παρασκευάσας, καὶ διὰ τοῦ ἐν ἁγιότητι καταρτισμοῦ ἀτόμων ἐκλεκτῶν κατέδειξε τὴν πρὸς τελείαν ἀναγέννησιν καὶ αὐταπάρνησιν ἰσχὺν τῆς χριστιανικῆς θρησκείας, αὐτὸς δημιουργήσας τὰς τάξεις τῶν *ὁσίων*, ἐν οἷς βραδύτερον ἔμελλε νὰ διαπρέψῃ ὁ ἅγιος Βησσαρίων, οὗ ἡ πολιτεία ἐκτίθεται ἐν τοῖς ἐφεξῆς.

Ὁ ἀοίδιμος οὗτος πατὴρ ἡμῶν, ἐγεννήθη ἐν ἔτει 1489 ἐν Θεσσαλίᾳ, εἰς τὸ χωρίον «Πόρτα - Παναγία,» κείμενον πρὸς μεσημβρίαν τῆς Με-

νῆς, ἧς ἀπέχει μίαν ὡς ἔγγιστα ὥραν. Οἱ γονεῖς του, Σωτήριος καὶ Μαρία, πλούσιοι μὲν δὲν ἦσαν, διετήρουν ὅμως ποιάν τινα εὐπορίαν, ἣν ἐνίσχυε τὸ φιλόπονον αὐτῶν καὶ τὸ ὀλιγαρκές, ἐπιτρέπον αὐτοῖς νὰ περισσεύωσι καὶ βοηθῶσιν εἰς τῶν ἐνδεῶν ἀδελφῶν τὰς χρείας, κατὰ τὰς συμβουλὰς τοῦ Ἀποστόλου. Ἐν τῇ ζώσῃ δὲ αὐτῶν εὐσεβείᾳ καὶ πίστει, συνειδότες τὰ πρὸς τὰ τέκνα καθήκοντα τῶν Χριστιανῶν γονέων, μετὰ πολλῆς ἐπιμελείας ἀνέθρεψαν τὸν υἱόν των ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου, φλεγόμενοι ὅπως διὰ χριστιανικῆς ἀγωγῆς καὶ μορφώσεως καταστήσωσι τὸ τέκνον των καὶ ἄξιον τέκνον τοῦ Θεοῦ.

Εὐμοιρῶν δὲ ὁ Βησσαρίων φυσικῆς εὐφυΐας ὄχι τῆς τυχούσης, καὶ ἐν ἀδιαλείπτῳ σπουδῇ καὶ μελέτῃ διάγων, ἠδυνήθη νὰ ἐκμάθῃ, νεαρώτατος ἔτι, τὰ τότε ἐγκύκλια μαθήματα, ὧν ψυχὴ καὶ βάσις ἦσαν τὰ ἱερὰ γράμματα. Δικαιούμενος δὲ ἐνωρὶς νὰ ἀφοσιωθῇ πάσῃ ψυχῇ καὶ δυνάμει εἰς τελειότερον ἠθικὸν καταρτισμόν του καὶ νὰ ἀφιερωθῇ ἀπερισπάστως εἰς τὴν διακονίαν τοῦ Κυρίου καὶ τῆς Ἐκκλησίας, προείλετο τὸν μοναχικὸν βίον, καί, τούτου φέρων τὸ σχῆμα, προσέφυγεν εἰς Τρίκκαλα, προσωρινὴν τότε ἕδραν τοῦ μητροπολίτου Λαρίσσης Μάρκου, καταληφθείσης ταύτης (τῆς Λαρίσσης) ὑπὸ τῶν πολεμίων. Ἐκεῖ ὁ νεαρὸς μοναχὸς διετράνωσε τὰ σπάνια καὶ ἀνεπίληπτα ἠθικὰ χαρίσματά του. Προσληφθεὶς παρὰ τῷ Σεβασμιωτάτῳ Μητροπολίτῃ, καὶ τυχὼν παρ' αὐτῷ ἐμπιστοσύνης πολλῆς καὶ ἐκτιμήσεως, ὑπηρέτησε πιστῶς, μετὰ ζήλου, νοημοσύνης καὶ ἀκριβείας, οὐδέποτε παρασχὼν τὴν ἐλαχίστην ἀφορμὴν δυσαρεσκείας καὶ ἐπιτιμήσεως εἰς τὸν πνευματικόν του πατέρα, οὗ ἀπεναντίας κατέκτησεν ἀμέριστον τὴν ἐμπιστοσύνην καὶ τὴν ἀγάπην διὰ τῆς συνέσεως αὐτοῦ καὶ τοῦ ἤθους, ἐκδηλουμένων εἰς πλούσια ἔργα χριστιανικῆς αὐταπαρνήσεως καὶ διαθέσεως.

Ψυχὴ εὐγενὴς καὶ συμπαθητικὴ ὁ Βησσαρίων, πλήρης ἐλέους, φιλαδελφίας καὶ εὐσπλαγχνίας, γνήσιος ὀπαδὸς τοῦ κηρύξαντος πάντας τοὺς πάσχοντας ἀδελφούς του, καὶ δηλώσαντος ὅτι πρὸς τὸν ἴδιον ἀναφέρεται πᾶσα πρὸς αὐτοὺς εὐεργεσία, παρεῖχεν ἱλαρῶς καὶ ἀόκνως πᾶσαν βοήθειαν καὶ περίθαλψιν πρὸς πάντας τοὺς πτωχούς, τὰς χήρας, τὰ ὀρφανὰ καὶ τοὺς προσερχομένους ξένους, οὓς ἀνεζήτει καθ' ἑκάστην, θεωρῶν ὕψιστον εὐτύχημά του τὸ νὰ πραΰνῃ καὶ τὸν ἐλάχιστον πόνον, τὸ νὰ ἀνακουφίσῃ πᾶσαν οἱανδήποτε συμφοράν. Ὑπὸ τὸ μοναχικόν του σχῆμα ἔπαλλε καρδία ἐξόχως φιλάνθρωπος καὶ κοινωνική.

Μετὰ τὰ τρανὰ καὶ ἀναμφισβήτητα ταῦτα δείγματα ζηλευτῶν πνευματικῶν καὶ ἠθικῶν χαρισμάτων ἐν τῇ γενικῇ ὑπολήψει καὶ ἀγάπῃ,



ἧς ἀπήλαυεν, ἀνῆλθε μέχρι τοῦ βαθμοῦ τοῦ Πρεσβυτέρου· ὡς τοιοῦτος δὲ ἐφιλοτιμήθη νὰ πραγματοποιήσῃ τὸ ἰδεῶδες χριστιανοῦ Πρεσβυτέρου ἀνταξίου τῶν εὐαγγελικῶν ὑποθηκῶν καὶ τοῦ παραδείγματος τῶν ἀρχαίων τῆς Ἁγίας ἡμῶν Ἐκκλησίας Πρεσβυτέρων.

Χηρευσάσης δὲ τῆς ἐπισκοπῆς Ἐλασσῶνος καὶ Δομενίκου, ὁ Μητροπολίτης Λαρίσσης Μάρκος, ἐκ πόθου νὰ παράσχῃ εἰς αὐτὴν ποιμένα ἀληθῆ κατὰ Χριστόν, προεχειρίσατο εἰς αὐτὴν τὸν Βησσαρίωνα ἐν ἔτει 1512.

Ἀλλ' ἐφ' ὅσον ἡ ἁμαρτία διατηρεῖ τὸ κράτος της ἐν τῷ κόσμῳ, ἡ ἀρετὴ δὲν εἶνε προωρισμένη νὰ προκαλῇ τὸ σέβας μόνον καὶ τὴν ἐκτίμησιν, ἀλλὰ καὶ τὸ μῖσος καὶ τὸν φθόνον πολλῶν ταπεινῶν καρδιῶν, ὡς εἶχε συμβῇ εἰς τὸν Βησσαρίωνα ἀκριβῶς διὰ τὸ ὑπέροχον τῆς ἀρετῆς του. Μετὰ τῶν φθονερῶν τούτων ἡνώθησαν καὶ ἄλλοι κενόδοξοι, εἰς τὴν κατάκτησιν τῆς αὐτῆς ἐπισκοπῆς ἀποβλέποντες. Καὶ ἐπὶ τῷ ἐπιχειρήματι ὅτι ἡ ἐπισκοπὴ Ἐλασσῶνος καὶ Δομενίκου ἐξηρτᾶτο ἀπ' εὐθείας ἀπὸ τῶν Πατριαρχείων, εἰς οὐδένα δὲ δεσμὸν διοικητικὸν διετέλει μετὰ τῆς Μητροπόλεως Λαρίσσης, ἀπεδίωξαν τὸν θεῖον Βησσαρίωνα, καὶ δι' ἀπεσταλμένων πρὸς τὸν Πατριάρχην Θεόληπτον, πατριαρχεύσαντα τῷ 1514 ἢ 1516, (ὄχι Χρυσόληπτον), ἠδυνήθησαν νὰ προκαλέσωσι τὴν ἀποστολὴν ἑτέρου ἐπισκόπου, τοῦ Νεοφύτου.

Ὁ θεῖος Βησσαρίων δὲν ἐχολώθη ἐκ τῆς ἀγνώμονος καὶ σκαιᾶς ταύτης ἀπελάσεως, οὐδὲ ἐν τῇ καθαρᾷ καρδίᾳ του ᾐσθάνθη ὁρμήν τινα ἐκδικήσεως ἢ ἀθυμίαν καὶ ἀπογοήτευσιν. Ὑποστρέψας παρὰ τῷ Μητροπολίτῃ Λαρίσσης, ἀνέλαβε τὰ πρότερα καθήκοντά του, θερμότερον μάλιστα ἀφοσιωθεὶς εἰς τὴν διακονίαν τῶν ξένων, τῶν πτωχῶν, καὶ τῶν ἀσθενῶν. Καὶ ὑπῆρξε τόση ἡ χριστιανικὴ ταπείνωσίς του, τόση ἡ πρὸς ὑπηρεσίαν τοῦ πλησίον ἔφεσίς του, ὥστε ὄχι μόνον πληγάς, ἀλλὰ καὶ ἐνδύματα ἐπικινδύνων ἀσθενῶν ἔπλυνεν, ἀναβιβαζόμενος οὕτως ἠθικῶς ὑψηλότερα, καὶ ἀναδεικνύμενος πρῶτος ἀκριβῶς, διότι ἐφέρετο ὡς ἔσχατος.

Ἀλλ' ὁ Κύριος τὸν ὅσιον Βησσαρίωνα εἶχε προωρισμένον καὶ πρὸς ἐπισκοπικὴν δρᾶσιν καὶ διακονίαν· ἡ εὐκαιρία δὲ αὕτη δὲν ἐβράδυνε νὰ ἐπανέλθῃ, θανόντος τοῦ ἐπισκόπου Σταγῶν Νικάνορος ἐν ἔτει 1514.

Ἀποσταλεὶς ὁ Ὅσιος εἰς τὴν χηρεύσασαν ἐπισκοπήν, ἐποίμανεν αὐτὴν ἑξαετίαν ὅλην ὡς ἀρχιερατικὸς ἐπίτροπος· κατὰ τὸ διάστημα δὲ τοῦτο ἐν τῇ διακονίᾳ ταύτῃ ἐξέλαμψε τύπος ποιμένος ἀληθοῦς. Ἐν ἐποχῇ, καθ' ἣν τὸ ἱερὸν κήρυγμα ἦτο παρημελημένον ἐν τῇ Ἐκκλησίᾳ, ὁ Βησσαρίων δὲν ἔπαυσε διδάσκων καὶ κηρύττων, στηρίζων καὶ φωτίζων τὸ ποίμνιόν του, καὶ παρέχων ἑαυτὸν τέλειον ὑπόδειγμα χριστιανι-

κῆς δικαιοσύνης, σωφροσύνης καὶ ἀγάπης. Καθὼς δὲ καὶ εἰς αὐτοὺς τοὺς
Ἀποστόλους καὶ τοὺς μεγάλους ἐπισκόπους τῆς Ἐκκλησίας ἡμῶν συνέ-
βη, ἐν τῷ ἔργῳ αὐτοῦ τούτῳ δὲν ἔμεινεν ὁ Βησσαρίων ἄνευ ἀντιπράξεως.
Μοχθηρός τις ἰδίᾳ καὶ ἐμπαθὴς ἱερεύς, ὀνόματι Δομέτιος, τὸν ὁποῖον ἔδα-
κνεν ὁ φθόνος ἕνεκα τῆς φήμης καὶ τῆς αἴγλης τῆς περιβαλλούσης τὸν
Βησσαρίωνα, ἤγειρε πολλοὺς πολέμους ἐναντίον του, χαλκεύων παντοίας
στυγερὰς συκοφαντίας, καὶ προσπαθῶν νὰ δηλητηριάσῃ τὴν κοινὴν συνεί-
δησιν καὶ καταστήσῃ εἰς αὐτὴν ὕποπτον καὶ ἀπεχθῆ τὸν Ὅσιον. Ἀλλ'
οὗτος, πρᾶος καὶ ἀμνησίκακος, εὐσταθὴς δὲ ἅμα καὶ καρτερικός, πρὸς
μὲν τὸν συκοφάντην του προσηνέχθη ἐπιεικέστατα, συγχωρῶν καὶ εὐχό-
μενος ὑπὲρ αὐτοῦ, δὲν ἀνεκόπη ὅμως ἀπὸ τῆς δράσεώς του· καὶ ἐμμένων
ἐν ἀπαρεγκλήτῳ ἐπιτελέσει τῶν καθηκόντων του, ἐκράτυνεν ἐν Κυρίῳ
τὴν φήμην καὶ τὴν δόξαν του, καὶ μετ' οὐ πολὺ ἐκλήθη πρὸς εὐρυτέ-
ραν δρᾶσιν καὶ ἀποστολὴν σοβαρωτέραν.

Ἐν ἔτει 1520 ἀπεδήμησε πρὸς Κύριον ὁ ἀγαθὸς προστάτης τοῦ Βησ-
σαρίωνος Μητροπολίτης Μάρκος. Τῇ ἐμπνεύσει δὲ τοῦ Ἁγίου Πνεύμα-
τος, κοινὴ καὶ ὁμόθυμος γνώμη καὶ ψῆφος τῶν ἐπισκόπων καὶ παντὸς
τοῦ κλήρου τῆς ἐπαρχίας Λαρίσσης καὶ θερμαὶ τοῦ λαοῦ αὐτῆς παρα-
κλήσεις ἤγαγον τὸν Βησσαρίωνα ἐπὶ τὸν θρόνον τῆς χηρευσάσης Μητρο-
πόλεως, πατριαρχοῦντος τότε Ἱερεμίου τοῦ Α'., τοῦ καταγομένου ἐκ
τοῦ χωρίου Ζίτζα τῶν Ἰωαννίνων.

Ἡ λαμπρὰ αὕτη προαγωγή, ἀνταμοιβὴ δικαιοτάτη τοῦ ζήλου καὶ
τῆς πολιτείας τοῦ Βησσαρίωνος, ἄλλον τινὰ ἴσως θὰ ἐπλήρου ὄγκου καὶ
ἀλαζονείας. Ἀλλ' ὁ Ὅσιος διεῖδεν ἐν αὐτῇ νέαν ἁπλῶς εὐκαιρίαν πρὸς
ἐξακολούθησιν ἐν πάσῃ ταπεινώσει εἰς τὸ Εὐαγγέλιον διακονίας του, καὶ
προσηυχήθη θερμῶς πρὸς τὸν Κύριον, ὅπως τὸν ἐνισχύσῃ περισσότερον
εἰς τὴν ἐπιτέλεσιν τῶν καθηκόντων του, τὴν ἐπιβάλλουσαν νῦν βαρυτέ-
ρους μόχθους, καὶ χρῄζουσαν ἰσχυροτέρας ἀντοχῆς. Καὶ ὁ Κύριος ἐπή-
κουσεν αὐτοῦ. Ὁ μητροπολιτικὸς θρόνος Λαρίσσης ἔσχεν ἐν τῷ προσώπῳ
τοῦ Βησσαρίωνος ἓν τῶν ἐξοχωτέρων σεμνωμάτων καὶ τῶν λαμπροτέ-
ρων ἐγκαλλωπισμάτων του.

Ἅμα τῇ ἐγκαταστάσει του ἐπελήφθη μετὰ περισσῆς ζέσεως τοῦ ἱεροῦ
κηρύγματος, ἐξακολουθῶν πάντοτε νὰ θεωρῇ αὐτὸ ὡς τὸ σπουδαιότερον
μέσον τῆς χριστιανικῆς ἀναγεννήσεως. Τὴν δὲ Ἱερὰν Μητρόπολιν του
κατέστησε *ταμεῖον καὶ πηγὴν ἐλέους καὶ φιλανθρωπίας*, ἔσχεν αὐτὴν
ἀνοικτὴν πρὸς πάντα αἰτοῦντα καὶ δεόμενον συνδρομῆς, παρηγορῶν
τοὺς προσερχομένους ἐν ταῖς θλίψεσιν αὐτῶν, λυτρούμενος τοὺς ἐν αἰχ-



μαλωσίᾳ ὄντας, ἀναδειχθεὶς δέ, ἵνα κατὰ τὸν Ἀπόστολον εἴπωμεν,
νηφάλιος, σώφρων, κόσμιος, φιλόξενος, διδακτικός, ἐπιεικής, ἄμαχος,
ἀφιλάργυρος.

Χαρακτηριστικὸν τῆς πρὸς τὸ ποίμνιόν του στοργῆς τοῦ ἁγίου Βησ-
σαρίωνος εἶνε τὸ ὅτι εἰς τὴν πρωτοβουλίαν αὐτοῦ, τὴν δραστηριότητα καὶ
τοὺς μόχθους ὀφείλεται ἡ κατασκευὴ γεφύρας ἐπὶ τοῦ Ἀχελῴου ποταμοῦ,
νῦν Ἀσπροποτάμου, πρὸς διευκόλυνσιν τῆς συγκοινωνίας καὶ προφύλα-
ξιν τῆς ζωῆς τῶν ἐκτιθεμένων κατὰ τὴν διάβασιν εἰς τὸ βάθος καὶ τὴν
ὁρμητικότητα τοῦ ῥεύματος αὐτοῦ. Ταῖς ἀόκνοις ἐπίσης ἐνεργείαις του τὸ
1515, ἐπὶ τῶν ἐρειπίων τῆς παλαιᾶς Μονῆς τοῦ Σωτῆρος, τῆς καλου-
μένης τῶν μεγάλων Πυλῶν, ἀνηγέρθη νέα, κληθεῖσα μεταγενεστέρως
Μονὴ τοῦ Δουσίκου, ἧς αἱ πρὸς ἀποπεράτωσιν ἐργασίαι δέκα καὶ πέντε
ὅλα ἔτη διήρκεσαν δι' ἔλλειψιν χρημάτων, πρὸς ἐξεύρεσιν τῶν ὁποίων
δὲν ἀπώκνησεν αὐτὸς ὁ Ὅσιος νὰ ἐπιχειρήσῃ τὸ 1529 κοπιαστικὸν τα-
ξείδιον εἰς Κωνσταντινούπολιν, Οὐγγρο-Βλαχίαν, καὶ ἀλλαχόσε, ἐπι-
καλούμενος τὴν ἀρωγὴν τῶν ὁμοεθνῶν ὑπὲρ τοῦ ἱεροῦ ἔργου. Σῴζεται
μάλιστα ἐν Βλαχίᾳ καὶ νῦν ἔτι, εἰς Μονὴν καλουμένην «Ἄρντζεσι,»
ἐν ᾗ καὶ ἐλειτούργησεν, ἀντιμίνσιον, ὑπ' αὐτοῦ ἀφιερωθὲν κατὰ τὴν πε-
ριοδείαν του ἐκείνην, καὶ φέρον τὴν ἐπιγραφὴν «ὁ ταπεινὸς Μητροπολί-
της Λαρίσσης Βησσαρίων.»

Εἰς τὴν ἀνέγερσιν τῆς Μονῆς ταύτης σπουδαίως συνέβαλε καὶ ὁ αὐ-
τάδελφος τοῦ Ὁσίου Ἰγνάτιος, ἐπίσκοπος Φαναρίου καὶ Καπούας (ἐπαρ-
χίας Καρδίτζης.) Βραδύτερον δὲ τὸ 1558 τὸν ἐν τῇ Μονῇ ναόν, μικρὸν
οἰκοδομηθέντα, ἀνήγειρεν ἐκ βάθρων εὐρύτερον, λαμπρότερον, καὶ περι-
καλλέστερον, οἷον καὶ νῦν ἔτι βλέπομεν αὐτόν, ὁ ἀνεψιὸς τοῦ Ὁσίου Νεό-
φυτος, χρηματίσας καὶ οὗτος Μητροπολίτης Λαρίσσης, καθὼς ἐμφαίνεται
ἐκ τῆς ἐπιγραφῆς, τῆς σωζομένης ἐπὶ τῆς μεγάλης μαρμαρίνης πύλης,
ἐχούσης ὡς ἑξῆς.

«Ἀνηγέρθη ὁ πάνσεπτος οὗτος καὶ θεῖος ναὸς τοῦ Κυρίου καὶ Θεοῦ
»καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τῶν μεγάλων Πυλῶν, πρώην μὲν
»ἐν ἄλλῳ σχήματι παρὰ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βησσαρίωνος Ἀρ-
»χιεπισκόπου Λαρίσσης, καὶ τοῦ αὐταδέλφου αὐτοῦ Ἰγνατίου, ἐπισκό-
»που Καπούας καὶ Φαναρίου, ὕστερον δὲ ἐν τούτῳ τῷ περικαλλεῖ σχή-
»ματι, οἷον νῦν ὁρᾶτε, ἀνηγέρθη ἐκ βάθρων, καὶ ἀνιστορήθη παρὰ Κυ-
»ροῦ Νεοφύτου τοῦ αὐτῶν ἀνεψιοῦ, τοῦ καὶ τὸν αὐτὸν θρόνον τῆς ἁγιω-
»τάτης Μητροπόλεως Λαρίσσης ἰθύνοντος, καὶ τῶν ὑπ' αὐτὸν θεοφιλε-
»στάτων ἐπισκόπων τοῦ τε Λιτσᾶ Λουκᾶ, τοῦ Δημητριάδος Ἰωσήφ, καὶ

»τοῦ Φαναρίου Μαρτυρίου, ἐπὶ ἔτος Ἀδὰμ ,ζξς′ =7066, καὶ ἀπὸ Χρι-
»στοῦ 1558 κατὰ μῆνα Νοέμβριον εἰς τὰς 8, ἰνδικτιὼν α′.»

Εἰς τὴν Μονὴν ταύτην ὁ θεῖος ἀνὴρ ἀφιέρωσε πολλὰ κειμήλια καὶ κτήματα, τῶν ὁποίων παρήγγειλε τὴν χρῆσιν τῶν προσόδων ἀξίως ἑαυτοῦ, καθὰ βλέπομεν ἐν τῇ καταλειφθείσῃ διαθήκῃ του, ἣν συνέταξεν ὁ κατὰ πνεῦμα υἱός αὐτοῦ Γρηγόριος, δημοσιεύομεν δὲ ὁλόκληρον κατωτέρω. Πρεσβεύων ὅτι ὁ μοναχικὸς βίος δὲν πρέπει νὰ ἦνε ὄργανον περισσῆς ἀνέσεως καὶ ῥαστώνης, φρονῶν ὅτι καὶ οἱ ἐν ταῖς Μοναῖς πρέπει νὰ ἐκπληρῶσι τὸν ὑπέρτατον κοινωνικὸν νόμον τοῦ Χριστιανισμοῦ, τὸν ἐπιβάλλοντα τὴν φιλανθρωπίαν καὶ τὴν βοήθειαν τῶν ἐνδεῶν καὶ τῶν πασχόντων, ὥρισεν ὅπως οἱ μοναχοὶ περιθάλπωσι πάντοτε ἐν ἀγάπῃ καὶ φιλοστοργίᾳ πάντα ἀσθενῆ πτωχόν, ξένον ἐμφανιζόμενον εἰς τὴν θύραν τῆς Μονῆς καὶ ἔχοντα ἀνάγκην παροδικῆς βοηθείας ἢ διαρκεστέρου ἀσύλου ὑπὸ τὴν στέγην αὐτῆς.

Πληρώσας τὸν ἐπὶ γῆς προορισμόν του ὁ Ὅσιος, καὶ λαμπρῶς τὸν δρόμον αὐτοῦ διανύσας, ἐξεδήμησε πρὸς Κύριον ἐν ἡλικίᾳ ἐτῶν 52, τὴν 15 Σεπτεμβρίου τοῦ 1541, ὅτε καὶ ἡ ὀρθόδοξος Ἀνατολικὴ Ἐκκλησία γεραίρει τὴν μνήμην του, ἥτις καὶ ἐνώπιον τοῦ Θεοῦ, ἀλλὰ καὶ ἐν τῇ συνειδήσει τοῦ χριστιανικοῦ κόσμου θὰ παραμείνῃ ἄφθιτος καὶ αἰωνία.

Ἐκ νεότητος αὐτοῦ ἀφοσιωθεὶς εἰς τὸν Κύριον, διετέλεσε διὰ παντὸς τοῦ βίου του γνήσιος τοῦ Κυρίου μαθητής, ἐν λόγῳ καὶ ἔργῳ διατρανώσας τὴν πίστιν του. Τὸ δὲ πάντων κάλλιστον, δὲν ὑπῆρξε μόνον ἐγκρατὴς καὶ σεμνὸς ἀνήρ, ἀνεπιλήπτως βιώσας, ἀλλὰ συνήνωσε καὶ δραστηριότητα ζηλευτήν, καὶ ὑπῆρξε φιλάνθρωπος ἐπίσκοπος, ἀληθὴς τῶν πιστῶν αὐτοῦ πατήρ, τηρήσας τὴν πίστιν, τὴν ἐλπίδα καὶ τὴν ἀγάπην, καὶ κατακτήσας οὕτω τῆς δικαιοσύνης τὸν στέφανον. Τὰ πλεονεκτήματα αὐτοῦ ταῦτα μᾶλλον παντὸς ἄλλου ἐγίνωσκον καὶ ἐξετίμων οἱ ἐπαρχιῶταί του, οἱ ἐνωτισθέντες τῶν λόγων του, οἱ αἰσθανθέντες τὸ θάλπος ὅλον τῆς πρὸς αὐτοὺς ἀγάπης του, αἱ πλήρεις τῶν εὐεργετημάτων του ψυχαὶ τόσαι, ὑπ᾽ αὐτοῦ στηριχθεῖσαι ἐν τῇ πίστει· καρδίαι τόσαι, ὑπ᾽ αὐτοῦ ἐν ἡμέραις συμφορῶν παρηγορηθεῖσαι· τόσοι ὀφθαλμοί, ὧν τὰ δάκρυα ἀπέμαξε· τόσα ὀρφανά, εἰς τὰ ὁποῖα ἔδωκεν ἔνδυμα· τόσαι χῆραι, εἰς τὰς ὁποίας ἔπεμπεν ἄρτον. Κλῆρος δὲ καὶ λαὸς ἐπὶ τῷ ἀγγέλματι τοῦ θανάτου του ἐθρήνησαν ἀληθῆ ἀπερχόμενον πατέρα, καὶ ἐτέλεσαν τὴν κηδείαν του μοναδικῶς λαμπρὰν καὶ συγκινητικήν. Εἰς αὐτὴν παρηκολούθησαν πάντες οἱ ὑπ᾽ αὐτὸν ἀρχιερεῖς καὶ ἱερεῖς καὶ οἱ μοναχοί· ἀθρόα δὲ



συνέρρευσεν ἡ πόλις καὶ ἅπας ὁ τῶν πέριξ χωρίων πληθυσμός. Ἐχύθησαν ἐκεῖ δάκρυα εἰλικρινῆ, καὶ ἀντήχησαν κλαυθμοί, καὶ συνεπένθησαν πλούσιοι καὶ πτωχοί, μικροὶ καὶ μεγάλοι, ἄνδρες καὶ γυναῖκες, καὶ ἀνεπέμφθησαν διάπυροι εὐχαί, καὶ ἠκούσθησαν ἐγκάρδιοι εὐλογίαι. Τὸ δὲ λείψανόν του κατετέθη εἰς τὸν ναὸν τοῦ Ἁγίου Νικολάου, ὃν ἔκτισεν ὁ ἴδιος κάτωθι τῆς Μονῆς, ὥραν μόνον ἀπέχοντα ταύτης, ἐντὸς τῶν ἐκεῖ ἀμπελώνων.

Ἐκ τοῦ λειψάνου τούτου τοῦ Ὁσίου σώζεται μέχρι σήμερον ἐν τῇ Μονῇ αὐτοῦ ἡ κάρα μετὰ τῆς σιαγόνος· περὶ τοῦ λοιποῦ λέγεται ὅτι ἐκλάπη διὰ τυμβωρυχίας ὑπό τινος Ἀγκρινοῦ, ὑπηρετοῦντος τότε εἰς τὰς ἐξωτερικὰς ἐργασίας τῆς Μονῆς. Κατὰ θείαν δὲ εὐδοκίαν καὶ χάριν, πρὸς δόξαν τοῦ Ὁσίου, τοῦ ὁποίου τὰ ἔργα τόσον συνέβαλον πρὸς τὴν ἐπὶ τῆς γῆς δόξαν τοῦ Θεοῦ, ἐν τῇ ἐπικλήσει τοῦ ὀνόματός του καὶ τῇ παρουσίᾳ τῶν λειψάνων του πολλὰ ἐτελέσθησαν μεμαρτυρημένα θαύματα, συντόμως ἀναγραφόμενα ἐν τῷ τέλει τῆς παρούσης βιογραφίας.

Τοιοῦτος ἐγένετο ἐν τῷ βίῳ, τοιοῦτος ἀνεδείχθη μετὰ θάνατον ὁ ἅγιος Βησσαρίων. Ὑπῆρξε, κατὰ τὴν ἀξίωσιν τοῦ Κυρίου ἡμῶν, φῶς τοῦ κόσμου· ὑπῆρξεν ἅλας τῆς γῆς· ὑπῆρξεν ἀληθὴς πατὴρ καὶ ποιμήν, τύπος καὶ ὑπόδειγμα τῶν πιστῶν εἰς πᾶσαν ἀρετήν. Δοξάσας δὲ τὸν Κύριον, ἐδοξάσθη ὑπ᾽ αὐτοῦ. Καὶ φιλανθρωπότατος καὶ εὐεργετικώτατος ἐν ζωῇ, διετέλεσε τοιοῦτος πρὸς τοὺς ἐπικαλουμένους αὐτὸν καὶ μετὰ τὴν ἐκ τοῦ κόσμου τούτου ἔξοδόν του. Ἅγιος, εἶνε συγχρόνως καὶ θαυματουργός. Καὶ ἰδοὺ διὰ τί, φόρον τιμῆς καὶ εὐγνωμοσύνης τελοῦντες πρὸς αὐτόν, ἀνεγείρουσιν αὐτῷ ναοὺς καὶ γεραίρουσιν οἱ ἐν Ἠπείρῳ καὶ Θεσσαλίᾳ καὶ ἀλλαχοῦ. Ἰδοὺ διὰ τί ὁ βίος του ἀξίζει νὰ γνωσθῇ τοῖς πᾶσι, καὶ ἁπανταχοῦ νὰ πανηγυρίζηται ἡ μνήμη του, ἡ ἐνθυμίζουσα τὸν λόγῳ καὶ ἔργῳ τέλειον ποιμένα καὶ λειτουργὸν τῆς χάριτος τοῦ Κυρίου.

Οἱ κληρικοὶ μάλιστα καὶ μεταξὺ αὐτῶν κυρίως οἱ Ἐπίσκοποι, εὐχῆς ἔργον εἶνε νὰ μελετήσωσι μετὰ προσοχῆς τὸν βίον τοῦ Ὁσίου, καὶ νὰ μιμηθῶσιν αὐτὸν καὶ ἐν τῷ ζήλῳ τοῦ κηρύγματος καὶ τῆς διδασκαλίας καὶ ἐν ταῖς ἄλλαις ἀρεταῖς. Κηρύττων καὶ διδάσκων διώδευεν ἀνὰ πόλεις καὶ κώμας ὁ Κύριος ἡμῶν· κηρύττοντες καὶ διδάσκοντες διήνυσαν καὶ κατέλυσαν τὸν βίον των καὶ οἱ Ἀπόστολοί του· κηρύττοντες καὶ διδάσκοντες ἐδοξάσθησαν καὶ ἐδόξασαν τὴν Ἐκκλησίαν οἱ μεγάλοι καὶ ἀθάνατοι αὐτῆς Πατέρες.

Ἡ τοῦ θείου κηρύγματος παραμέλησις συμπίπτει μετὰ τῆς θρησκευτικῆς τῶν πιστῶν νεκρώσεως καὶ τῆς ἠθικῆς αὐτῶν καταπτώσεως· τού-

ναντίον δὲ ἡ ἀκμὴ τῆς χριστιανικῆς διδασκαλίας εἶνε συγχρόνως καὶ ἡ ἐποχὴ τῆς τελειοτάτης ἠθικῆς ζωῆς τῶν ὀπαδῶν αὐτῆς, καὶ ἁπανταχοῦ, ὅπου ἡ δύναμις τοῦ κηρύγματος ἐνήργησε, ὄχι μόνον οἱ ὀνόματι καὶ κατὰ τύπους πιστοὶ ἀνεδείχθησαν καὶ ἔργῳ καὶ κατ᾽ οὐσίαν τοιοῦτοι, ἀλλὰ καὶ τῶν ἀπίστων πολλοὶ εἱλκύσθησαν εἰς τὴν πίστιν, ἄνδρες δὲ ἐνχυρυνόμενοι πρὶν διὰ τὴν ἀπιστίαν των, προσέπεσαν γονυκλινεῖς καὶ προσευχόμενοι ἐν ταπεινώσει καὶ συντριβῇ παρὰ τοὺς πόδας τοῦ Σταυροῦ. Ἐν πᾶσι τοῖς βιωτικοῖς κύκλοις καὶ σταδίοις ἀνάγκη νὰ προϋπάρξῃ ἡ γνῶσις, διὰ νὰ ἐπακολουθήσῃ ἡ πρᾶξις· ἀλλ᾽ ἡ γνῶσις εἶνέ τι κτητὸν καὶ μεταδοτόν, καὶ ἡ διδασκαλία παρὰ τῶν εἰδότων εἶνε ἡ ἀναγκαία προϋπόθεσίς της. Διὰ τοῦτο, ἀναλαμβανόμενος ὁ Κύριος ἡμῶν, ἔδιδεν ὑστάτην ἐντολὴν πρὸς τοὺς Ἀποστόλους νὰ *μαθητεύσωσι* πάντα τὰ Ἔθνη, καὶ νὰ *διδάσκωσιν* αὐτὰ ὅπως τηρῶσι πάντα, ὅσα ἐνετείλατο. Διὰ ταῦτα οἱ πρῶτοι Χριστιανοὶ ἦσαν καθ᾽ ἑκάστην *προσκαρτεροῦντες τῇ διδαχῇ τῶν Ἀποστόλων*. Διὰ ταῦτα ὁ Παῦλος ἀπαραίτητον καὶ κύριον προσὸν καὶ γνώρισμα τοῦ Ἐπισκόπου ἀπαιτεῖ τὸ νὰ ἦνε *διδακτικός*. Πρὸς τὸν Τιμόθεον δὲ παραγγέλλει νὰ *διδάσκῃ*, *νὰ προσέχῃ τῇ διδασκαλίᾳ*, *νὰ ὀρθοτομῇ τὸν λόγον τῆς ἀληθείας*, *καὶ νὰ κηρύττῃ τὸν λόγον*· διὰ τοῦτο, γράφων πρὸς τὸν Τίτον, γνωματεύει ὅτι πρέπει ὁ ἐπίσκοπος νὰ ἀντέχηται τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου, ἵνα δυνατὸς ᾖ καὶ παρακαλεῖν ἐν τῇ διδασκαλίᾳ τῇ ὑγιαινούσῃ, καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν. Εἰς τοὺς λόγους τούτους καὶ τὰς παρακελεύσεις πειθόμενος, καὶ τὰ παραδείγματα ταῦτα ζηλῶν ὁ ὅσιος Βησσαρίων, μετὰ ζήλου ἐκήρυττε καὶ ἐδίδασκε τὸ ποίμνιον αὐτοῦ, παρέχει δὲ οὕτω τύπον ἀγαστὸν μιμήσεως εἰς τοὺς σημερινοὺς ἡμῶν ἐπισκόπους· διότι πάντοτε μὲν ἐπιβάλλεται ἡ τοῦ θείου λόγου διδασκαλία. Ἀλλ᾽ ὁ Ὅσιος ἐκήρυττεν ἐν καιροῖς, καθ᾽ οὓς ἐδέσποζεν ἡ ἀμάθεια, καὶ καθ᾽ οὓς χαλεπὰς ἡμέρας διήρχετο ἡ Ἐκκλησία, ἡ δὲ αὐτοσυντήρησις ἦτο τὸ ὑπέρτατον πάντων μέλημα, πρὸς δὲ τούτοις ἡ ἐν ταῖς ψυχαῖς πίστις δὲν ἦτο μὲν πεφωτισμένη, ἦτο ὅμως ἰσχυρὰ καὶ βαθεῖα, καὶ δὲν ἠπειλεῖτο ὑπὸ διδασκαλιῶν, ἀρνουμένων τὸ ὑπερφυσικὸν καὶ διασειουσῶν αὐτὰς τὰς βάσεις παντὸς ἐν γένει θρησκεύματος, ἐνῷ σήμερον τοὺς παρ᾽ ἡμῖν ἐπισκόπους οὐδὲν κωλύει τοῦ νὰ ἐπιμελῶνται μετὰ ζήλου πολλοῦ τοῦ κηρύγματος· εἶνε δὲ τοῦτο νῦν ἐπιτακτικώτερον ἐκ τοῦ ὅτι ἡ ἔφεσις τῆς γνώσεως εἶνε σήμερον ἀσυγκρίτως γενικωτέρα καὶ ἰσχυροτέρα, πολλοὶ δὲ οἱ κατὰ τοῦ θείου λόγου παρρησίᾳ ἀντιλέγοντες, καὶ ἀνάγκη πᾶσα οὗτοι νὰ ἐλέγχωνται, ἀφ᾽ ἑνὸς μὲν ὅπως οἱ ἴδιοι, εἰ δυνατόν, συνετισθῶσι καὶ ἐπιστρα-



φῶσιν, ἀφ᾽ ἑτέρου δὲ ὅπως φυλάσσωνται ἀπὸ τῆς ἐπιδράσεως τῶν ἀντιθρησκευτικῶν διδαγμάτων των καὶ οἱ ἀμαθεῖς καὶ ἀμφιβάλλοντες, καὶ στηρίζονται ἀκλόνητοι ἐν τῇ πίστει.

Ἀλλὰ καὶ τὸ σεμνὸν καὶ ἐγκρατὲς καὶ τὸ καθ᾽ ὅλα ἥμερον καὶ φιλάνθρωπον καὶ ἀγαθοεργὸν τοῦ Ὁσίου πρόκειται κάλλιστον παράδειγμα εἰς πάντα ἐπίσκοπον, θέλοντα νὰ διακονῇ ἐν πίστει εἰς τὸν Κύριον καὶ νὰ ἦνε ἀληθὴς κατὰ Χριστὸν ἐπίσκοπος. Τὸ παράδειγμα εἶνε εὐγλωττότερον παντὸς λόγου, προσδίδον εἰς αὐτὸν κῦρος ὑπέρτατον καὶ πειθὼ ἀπροσμάχητον, καὶ τὰ ἔργα εἶνε ἡ Λυδία λίθος τῆς πίστεως, ἥτις δι᾽ αὐτῶν κυρίως καθίσταται δύναμις νικηφόρος, καταβάλλουσα, ἕλκουσα, καὶ κατακτῶσα. Διὰ τοῦτο ὁ Ἰησοῦς Χριστὸς ἐπὶ τῶν *καλῶν ἔργων* τῶν ἀντιπροσώπων του ἐξήρτησε τὴν δόξαν τοῦ ἐν οὐρανοῖς Πατρός του μεταξὺ τῶν ἀνθρώπων. Διὰ τοῦτο ὁ Παῦλος ἀπαιτεῖ νὰ ἦνε ὁ ἐπίσκοπος *ἀνέγκλητος καὶ ἀνεπίληπτος*, καὶ νὰ γίνηται *τύπος τῶν πιστῶν ἐν λόγῳ, ἐν ἀναστροφῇ, ἐν ἀγάπῃ, ἐν πνεύματι, ἐν πίστει, ἐν ἁγνείᾳ*.

Τὸ ἀφιλάργυρον ἰδίᾳ καὶ ἀγαθοεργὸν εἶνε αἱ ἀρεταί, ἃς πρέπει νὰ κατέχῃ καὶ νὰ ἐπιδείξῃ ἐν τῷ βίῳ του ὁ χριστιανὸς Ἐπίσκοπος· διότι, φιλοχρήματος ὢν καὶ δύσκολος πρὸς τὰ εὐεργετήματα, διαθέτει δυσμενῶς καθ᾽ ἑαυτοῦ τὸ ποίμνιόν του, ὡς καταδεικνύων ὅτι δουλεύει εἰς τὸν Μαμμωνᾶν μᾶλλον παρὰ εἰς τὸν Θεόν, καὶ καταγγέλλων ἑαυτὸν ὅτι τὸ ἐπισκοπικὸν ἐπεζήτησεν ἀξίωμα ὄχι ὅπως διακονήσῃ εἰς τὸ Εὐαγγέλιον τῆς αὐταπαρνήσεως, τῆς αὐτοθυσίας, τῆς ἀγάπης, καὶ τοῦ ἐλέους, ἀλλὰ ὅπως θησαυρίσῃ ἐν τῇ γῇ, ἀδιαφορῶν ἂν θὰ κηρυχθῇ ἠθικὸς χρεωκόπος ἐν τῷ οὐρανῷ. Ἐν τῇ ἀρχαίᾳ Ἐκκλησίᾳ οἱ ἐπίσκοποι ἦσαν ἐπὶ κεφαλῆς τῶν φιλανθρωπικῶν ἔργων, ὄχι δὲ μόνον ἐν τῇ διακονίᾳ των δὲν ἐσχημάτιζον περιουσίας, ἀλλὰ καὶ ἃς εἶχον πρὶν ἐκ κληρονομίας ἢ ἐξ ἰδίων πόνων ἐδαπάνουν ὑπὲρ τοῦ ποιμνίου των, αὐτοὶ ὕστερον λιτότατα τρεφόμενοι καὶ ἀπερίττως ἐνδυόμενοι. Ἐὰν τὸ τρέφειν πεινῶντας, τὸ ἐνδύειν γυμνητεύοντας, τὸ συνάγειν ξένους, τὸ περιθάλπειν ἀσθενεῖς, τὸ ἐπισκέπτεσθαι ὀρφανὰ καὶ χήρας ἐν τῇ θλίψει αὐτῶν ἀποτελῇ τὸ γνώρισμα ψυχῆς καὶ κοινωνίας πράγματι χριστιανικῆς, τὸ γνώρισμα τοῦτο πρέπει ἰδίᾳ νὰ ὑπάρχῃ παρὰ τοῖς ἐπισκόποις τῆς Ἐκκλησίας, καὶ δι᾽ αὐτῶν νὰ μεταδίδηται εἰς τὴν ὑπ᾽ αὐτῶν διοικουμένην ἐκκλησίαν. Ὁ ὅσιος Βησσαρίων, τὸ καθῆκον τοῦτο βαθέως συναισθανόμενος ἤσκησεν ἐν τῷ βίῳ του πᾶσαν ἀρετήν, ἰδίᾳ δὲ τὴν τῆς φιλανθρωπίας, καὶ ἔζησε διὰ τοῦτο τιμώμενος καὶ ἀγαπώμενος παρὰ τοῦ ποιμνίου του, ἀποθανὼν δὲ ἐθρηνήθη καὶ ἐκηδεύθη ὡς πατήρ, καὶ κατετάχθη ἐν τῇ χορείᾳ

τῶν ἁγίων. Εἴθε δὲ ἡ παροῦσα τῶν κατ' αὐτὸν ἱστόρησις νὰ κινήσῃ τὸν πρὸς μίμησιν ζῆλον τῶν νεωτέρων ἡμῶν ποιμένων, εἰς οὓς κεῖται νὰ διδάξωσι καὶ νὰ ποιήσωσι, καὶ οὕτως ὄχι μόνον τὴν Ἐκκλησίαν νὰ δοξάσωσι καὶ εἰς τὴν κοινωνικὴν ἀναγέννησιν νὰ συμβάλωσιν, ἀλλὰ καὶ ἑαυτοὺς νὰ τιμήσωσι καὶ ὠφελήσωσι, κατακτῶντες τὴν ἀγάπην καὶ τὸ σέβας τοῦ ποιμνίου των, καταλείποντες ἄφθιτον τὴν μνήμην τῶν ἀρετῶν των καὶ εἰσερχόμενοι ἐν δόξῃ εἰς τὴν ζωὴν τὴν αἰώνιον, ἐν ᾗ δεκτοὶ θὰ γείνωσι μόνον, ἂν ἐν τῷ βίῳ των εἰργάσθησαν ὅπως διὰ τῶν λόγων καὶ τῶν ἔργων των εἰσαγάγωσιν, εἰ δυνατόν, ἐν αὐτῇ πάντας τοὺς ἐμπιστευθέντας εἰς τὴν πατρικὴν αὐτῶν μέριμναν καὶ προστασίαν.

---

# ΘΑΥΜΑΤΑ

## ἐπιτελεσθέντα μετὰ θάνατον διὰ τοῦ

## ΑΓΙΟΥ ΒΗΣΣΑΡΙΩΝΟΣ

Ἐλέχθη ἐν τῇ βιογραφίᾳ τοῦ Ἁγίου ὅτι ὁ Θεὸς πρὸς δόξαν αὐτοῦ ηὐδόκησε νὰ τελῶνται διὰ τοῦ ἁγίου λειψάνου του ἐξαίσια θαύματα, ἐκ τῶν ὁποίων ἀναφέρομεν ἐνταῦθά τινα πρὸς γνῶσιν τῶν ἀναγνωστῶν καὶ ἐποικοδομὴν αὐτῶν.

1) Ἐπὶ τῆς πρώτης ἡγεμονίας Κωνσταντίνου τοῦ Μαυροκορδάτου ἐν Βουκουρεστίῳ, ἐνσκηψάσης αὐτόθι πανώλους, προσήχθη μετὰ τιμῶν πολλῶν ἐκ τῆς Μονῆς τοῦ Δουσίκου, ἐν ᾗ φυλάσσεται, ἡ κάρα τοῦ Ἁγίου, πρὸς προϋπάντησιν τῆς ὁποίας ἐξῆλθον ὁ ἡγεμὼν μετὰ τῶν ἀρχόντων αὐτοῦ, προεξάρχοντος τοῦ Μητροπολίτου καὶ σύμπαντος τοῦ κλήρου. Γενομένων δὲ ἁγιασμῶν, καὶ θερμῶν ἀναπεμφθεισῶν προσευχῶν καθ' ἅπασαν τὴν Βλαχίαν, ἐξέλιπεν ἡ νόσος.

2) Ἐν τῇ αὐτῇ ἡγεμονίᾳ, μετ' οὐ πολλὰ ἔτη καὶ ἐπὶ τοῦ αὐτοῦ ἡγεμόνος, διὰ τῆς ἐπενεργείας καὶ πάλιν τῆς κάρας τοῦ Ἁγίου, ἀπηλλάγη ἡ χώρα ἀπὸ τῆς πληγῆς παμπληθῶν φθοροποιῶν ἀκρίδων, αἵτινες κατέπεσον καὶ ἀπεπνίγησαν εἰς τὰ ὕδατα τοῦ Δουνάβεως



3) Ἐν Καλαρρύταις ἐνέσκηψέ ποτε θανατηφόρος νόσος, ἥτις ὠνομάζετο ὑπὸ τῶν ἐγχωρίων «Καρδία,» (ἴσως κακοήθης δυσεντερία). Προσκληθείσης ὅμως καὶ ἐκεῖ τῆς ἁγίας κάρας, καὶ διὰ θερμῶν πρὸς τὸν Ἅγιον παρακλήσεων τὸ κακὸν ἐξέλιπεν ἀπὸ τῶν κατοίκων.

4) Ἐν τῷ χωρίῳ Κλινοβῷ γυνή τις, τὴν μαγγανείαν μετερχομένη, ἀπέπεμψε μεθ' ὕβρεων ἀπὸ τοῦ οἴκου της τὴν κάραν τοῦ Ἁγίου, ἣν οἱ λοιποὶ κάτοικοι ἐκάλουν κατ' ἔτος πρὸς ἁγιασμὸν τῶν οἰκιῶν καὶ τῶν κτημάτων των, (καθόσον τὴν ἡμέραν ἐκείνην, ὡς ἡ ἰδία ὡμολόγησε, προητοιμάζετο νὰ ἐκτελέσῃ μαγείαν τινά, ἣν ἐπίστευεν ὅτι θὰ ἀπετύγχανεν, ἂν ἡ κάρα τοῦ Ἁγίου εἰσήρχετο ἐν τῷ οἴκῳ της,) ἀλλὰ παραχρῆμα τύφλωσις ἐπέπεσεν ἐπ' αὐτήν, καὶ ἤρξατο ὀδυρομένη καὶ κλαίουσα, καὶ παρεκάλει μετ' ὀλοφυρμῶν τοὺς συνοδεύοντας τὴν κάραν ἱερομονάχους, ἵνα δεηθῶσιν ὑπὲρ αὐτῆς πρὸς τὸν Ἅγιον καὶ ἐπιτύχωσι τὴν θεραπείαν της. Καὶ ὄντως, δεηθέντος τοῦ ἑνὸς τῶν ἱερομονάχων Ἱεροθέου, καὶ τὸ σημεῖον τοῦ Σταυροῦ διὰ τοῦ κρανίου τοῦ Ἁγίου ἐπὶ τῆς κεφαλῆς αὐτῆς ποιήσαντος, ἡ γυνὴ ἰάθη, καὶ περιήρχετο κηρύττουσα τὰ θαυμάσια τοῦ Θεοῦ, καὶ δοξάζουσα τὸν Ἅγιον.

5) Γυνή τις ἐκ Τρίκκης ἀλλόφυλος ἠγάπα νὰ ἐξέρχηται συχνὰ εἰς περιπάτους ἐξοχικοὺς καὶ ἀρκετὰ κοπιώδεις, πρὸ οὐδενὸς ἐμποδίου ἐννοοῦσα νὰ ὑποχωρήσῃ, καὶ ἀξιοῦσα τὰ πάντα νὰ ὑποτάσσῃ εἰς τὰς ἰδιοτροπίας της, καὶ τὰ πάντα νὰ κάμπτῃ ὑπὸ τὴν θέλησίν της. Ἡμέραν τινά, διελθοῦσα παρὰ τὴν Μονὴν τοῦ Ἁγίου Βησσαρίωνος, κατελήφθη ὑπὸ τῆς ἰσχυρᾶς περιεργείας νὰ ἀνέλθῃ εἰς αὐτήν, καὶ τὴν ἀξίωσίν της ταύτην ἀνεκοίνωσε πρὸς τοὺς μοναχούς. Οὗτοι ἠρνήθησαν ἐπιμόνως κατ' ἀρχάς, προβάλλοντες τὴν ἐν τῇ διαθήκῃ τοῦ Ἁγίου αὐστηρὰν ἀπαγόρευσιν τῆς εἰσόδου γυναικῶν εἰς τὴν Μονήν. Ἀλλ' ἡ ἀλαζὼν καὶ ἰδιότροπος αὕτη γυνή, ἐπαιρομένη εἰς τὸν πλοῦτόν της, καὶ ἐπισείουσα ἀπειλὰς κατὰ τῶν μοναχῶν, ἃς καθίστα βαρείας ἡ ποικίλη αὐτῆς ἰσχύς, τοὺς ἐξηνάγκασε μετὰ παντοίας ὑπεκφυγὰς νὰ στέρξωσιν, ὅπως τὴν ἀνασύρωσιν εἰς τὴν Μονήν. Ἀλλὰ μόλις εἰσῆλθεν αὕτη εἰς τὸ δίκτυον καὶ ἤρξατο ἡ ἀνέλκυσις, βρονταὶ δειναὶ ἠκούσθησαν, καὶ σεισμὸς φοβερὸς ἐτάραξε τὴν γῆν, διερράγη δὲ τῆς Μονῆς τὸ τεῖχος. Περιδεὴς τότε καὶ ἔκφρων ἡ ἀλλόφυλος κυρία ἐξῆλθε τοῦ δικτύου, ἠπείλει δὲ ὅτι θὰ τιμωρήσῃ τοὺς μοναχοὺς ὡς μάγους καὶ ἀπατεῶνας. Ἀλλ' ὁ Ἅγιος δὲν τὴν ἀφῆκε νὰ πραγματοποιήσῃ τὰς ἀπειλάς της. Κεκμηκυῖα ὑπὸ τῆς ὁδοιπορίας καὶ τῆς συγκινήσεως, ἔστη μικρὸν παρὰ τὴν ὁδὸν κάτωθεν βράχου, ἔνθα καὶ ὕδωρ ἀνέβλυζεν· ἀλλὰ λίθος ὀγκώδης, ἀποσπασθεὶς ἀπὸ τοῦ βράχου, ἔ-



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

πληξεν αὐτὴν κατὰ κεφαλῆς, καὶ τὴν ἀφῆκε νεκράν. Ὁ λίθος οὗτος, σωζόμενος ἔτι καὶ νῦν, ἀποκαλεῖται «ἡ Πέτρα τῆς Κυρᾶς.»

6) Ἄραψ κτηματίας ἐν Λαρίσσῃ, θεωρῶν ἡμέραν τινὰ ἀπὸ τοῦ ἐξώστου τοῦ οἴκου του λιτανείαν τῶν Χριστιανῶν μετὰ τῆς ἁγίας κάρας, ὕβριζεν αὐτὴν καὶ τοὺς ἱερεῖς καὶ τὴν πίστιν των. Ἀλλ' αὐθωρεὶ κατέπεσεν ἀπὸ τοῦ ἐξώστου εἰς τὴν αὐλήν, καὶ ἐταράσσετο, κυλιόμενος καὶ ἀφρίζων ὡς δαιμονιῶν. Ἔμφοβος τότε καὶ μετανοίας πλήρης προσέπεσε πρὸς τοὺς ἱερεῖς, παρακαλῶν αὐτοὺς νὰ δεηθῶσιν ὑπὲρ αὐτοῦ πρὸς τὸν Ἅγιον, ὑποσχόμενος ὅτι ἐν τῷ μέλλοντι θὰ σέβηται καὶ θὰ τιμᾷ αὐτόν, καθόσον, ὡς ὁ ἴδιος διηγεῖτο, τὴν τιμωρίαν του ταύτην ἔλαβε διὰ τῆς ἰδίας χειρὸς τοῦ Ἁγίου, ὃν εἶδεν ὄπισθέν του καθ' ἣν στιγμὴν ἀσεβῶς περὶ αὐτοῦ ὡμίλει.

7) Ἐρχομένων ποτὲ ἐκ Κωνσταντινουπόλεως τῶν ἱερομονάχων Ἱεροθέου καὶ Χρυσάνθου, φοβερὰ τρικυμία κατέλαβεν αὐτοὺς περὶ τὰ Τρίκερα, καὶ μικροῦ δεῖν ἐξώκελλον παρὰ τὸν Εὔριπον. Ὅτε ὁ Χρύσανθος ἐβύθισεν εἰς τὴν θάλασσαν τὴν σιαγόνα τοῦ Ἁγίου, καὶ μετὰ βραχεῖαν θερμὴν προσευχήν, ἐκόπασεν ἡ τρικυμία, καὶ ἡ γαλήνη διεχύθη ἐν τῇ θαλάσσῃ.

8) Ἐν τῷ αὐτῷ χωρίῳ Κλινοβῷ, ὅπερ καὶ ἀνωτέρω ἐμνημονεύσαμεν, ἐν ὥρᾳ χειμῶνος καὶ ἡμέρᾳ βροχερᾷ διήρχοντο διὰ τοῦ χωρίου οἱ πατέρες, φέροντες μεθ' ἑαυτῶν καὶ τὴν εἰκόνα τοῦ Ἁγίου· θερμαῖς δὲ παρακλήσεσι θεοσεβοῦς τινος γυναικός, ἧς ὁ σύζυγος ἔβοσκε τὸ ποίμνιον μακρὰν τοῦ οἴκου της, εἰσῆλθον, ὅπως καταλύσωσιν ἐν αὐτῷ. Ὁ μικρὸς υἱός της, ἐπιστρέφων ἀπὸ τοῦ πατρός του, πρὸς ὃν εἶχε φέρει, ὡς συνήθως ἔπραττε, τὴν τροφὴν τῆς ἡμέρας, ὅτε διήρχετο χείμαρρόν τινα, παρεσύρθη ὑπὸ τοῦ ἐκ τῶν βροχῶν τῶν ἡμερῶν ἐκείνων σχηματισθέντος ῥεύματος, παλαίων ἀρκετὴν ὥραν μετὰ τοῦ χάρωνος. Ὅτε αἴφνης, ἐν τῇ ἀγωνίᾳ ἐκείνῃ ἐμφανισθεὶς ἐνώπιόν του ὁ ἅγιος Βησσαρίων φέρων τὴν ἀρχιερατικήν του στολήν, τῷ προσέφερε τὴν ποιμαντικὴν ῥάβδον του, καὶ τὸν ἀνέσυρεν ἐκ τοῦ ὕδατος εἰς τὴν ὄχθην, ἢ κάλλιον εἰπεῖν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν. Εἶπε δὲ αὐτῷ· «Τέκνον μου, ὕπαγε εἰς τὴν οἰκίαν σου, καὶ τὸ ἑσπέρας θέλεις μὲ εὑρεῖ ἐκεῖ.» Ὁ παῖς, μεταβὰς εἰς τὸν οἶκόν του, διηγεῖτο εἰς τὴν μητέρα του, παρόντων καὶ τῶν μοναχῶν, ὡς ἑξῆς. «Ἄνθρωπός τις, »ἀρχιερατικὴν στολὴν ἐνδεδυμένος, ὑψηλός, μαυρογένειος, μαύροφρυς, καὶ »μέλαν κάλυμμα ἐπὶ τῆς κεφαλῆς φέρων, ἔτεινέ μοι τὴν ῥάβδον αὐτοῦ, »καὶ ἐξήγαγέ με ἐκ τοῦ ποταμοῦ, ὑφ' οὗ εἶχον παρασυρθῆ καὶ καθ' ἣν »ὥραν ἀπεπνιγόμην. Ὅτε δὲ μὲ ἐξήγαγε, μοὶ εἶπεν ὅτι τὸ ἑσπέρας θὰ



»ἦνε ἐδῶ εἰς τὸν οἶκόν μας.» Οἱ παρόντες ἐκ τῶν πατέρων μετ' ἐκπλήξεως ἤκουσαν τὴν διήγησιν, ἀλλ' ὁ παῖς οὐδένα ἐξ αὐτῶν ἀναγνωρίζει ὡς τὸν σωτῆρά του, ὡς τῷ εἶχεν οὗτος ὑποσχεθῆ, ὅτε τὸν ἐξήγαγεν ἐκ τοῦ ποταμοῦ. Τότε οἱ πατέρες ἐπέδειξαν εἰς αὐτὸν τὴν ἣν ἔφερον μεθ' ἑαυτῶν εἰκόνα τοῦ Ἁγίου, ἥντινα μετὰ θαυμασμοῦ ἅμα καὶ χαρᾶς ἀναγνωρίζει ὡς τὴν τοῦ σωτῆρός του, ἀναφωνήσας μάλιστα· «Αὐτὸς εἶνε ὅπου μὲ ἔσωσεν ἀπὸ τὸν πνιγμόν.»

Ἀλλὰ καὶ πλῆθος ἄλλων θαυμάτων ἐπετέλεσεν ἡ χάρις τοῦ Ἁγίου, μαρτυρούντων τὴν πρὸς αὐτὸν εὔνοιαν τοῦ Κυρίου, καὶ καταστησάντων περίδοξον εἰς τοὺς αἰῶνας τὸ ὄνομά του, τὸ ὁποῖον ἐκλέϊσε τοσοῦτον διὰ τῶν ἀρετῶν του ἐν τῇ ζωῇ.

---

## Ἀκριβὲς ἀντίγραφον τῆς διαθήκης τοῦ Ἁγίου Βησσαρίωνος πρὸς τοὺς διαδόχους του Ἀρχιεπισκόπους Λαρίσσης ἐκ τοῦ ἱεροῦ κώδικος τῆς Μονῆς.

Ἐπειδὴ πᾶν τὸ ἀπὸ Θεοῦ ἐρχόμενον εἰς αὐτὸν αὖθις τελειογονεῖν δεῖ, καὶ αὐτὸς ἀπὸ Θεοῦ ἔδει τὴν ἀρχὴν ποιήσασθαι, καὶ ἐν αὐτῷ τὸ τέλος σαββατίσει τῶν ἔργων μου, ἃ καὶ κατὰ τὴν ἐκείνου ἐτέλεσα δύναμιν τῇ αὐτοῦ συνεργείᾳ τε καὶ ἀρωγῇ. Δείσας οὖν ἐγὼ τῷ τῶν πολλῶν πρὸ ἐμοῦ παραδείγματι, οὐκ ἔδωκα ὕπνον τοῖς ὀφθαλμοῖς μου, οὐδὲ τοῖς βλεφάροις μου νυσταγμόν, κατὰ τὸν θεῖον φάναι Δαβίδ, ἀλλὰ τὸν ξύμπαντά μου χρόνον ἤμην ὀρθρίζων νυκτός τε καὶ ἐγρηγορῶν, μελισσῶν ὥσπερ ἐν σίμβλῳ τὰ ἐμὰ συλλέγων, οὐχ ἵνα ταῦτα κατορύξω καὶ φροῦδα ποιήσωμαι ἐν ἔργοις ἀλλοκότοις τε καὶ θεοστυγέσιν, ἀλλ' ἵνα τῷ παρασχόντι μοι ὡς παρακαταθήκην ἀποδώσω δι' οἰκοδομῆς τε καὶ ἀνεγέρσεως ἔργων θεοφιλῶν καὶ θεαρέστων· ὑφ' οὗ γὰρ καὶ προστάτης τούτων πάντων προκεχείρισμαι, ἐν οἷς ὁ αὐτὸς οἶδε κρίμασί τε καὶ δικαιώμασι. Ὅθεν ἠρξάμην, καὶ ἐκ βάθρων ἤγειρα τῇ αὐτοῦ ἀμάχῳ βοηθείᾳ τε καὶ ἐνεργείᾳ περικαλλῆ τε θεῖον καὶ πάνσεπτον ναόν, δοξαζόμενόν τε καὶ ὀνομαζόμενον πάλαι καὶ νῦν ἐπὶ τῷ αὐτοῦ σωτηριώδει καὶ φρικτῷ ὀνόματι *Μονὴ τοῦ Σωτῆρος*. Ἐμόχθησα οὖν, ὡς ἄλλος οὐδείς, καθὼς καὶ αἱ τῶν ἔργων μου ἐκβάσεις θεωροῦνται καὶ μαρτυροῦσιν, ἐν τοῖς ἰδίοις αὐ-

τῶν τόποις τε καὶ στάσεσι. Καὶ μετὰ τὴν αὐτοῦ ἀπάρτησιν, περιετοιχισάμην αὐτὸν τοίχῳ ὀχυρῷ τε καὶ ἀσφαλεῖ, ἐν ᾧ καὶ κέλλας οὐκ ὀλίγας ἐπήξαμεν, συνεχομένας πάσας καὶ στηριζομένας τῇ παναλκεστάτῃ χειρὶ τοῦ Παντοκράτορος Θεοῦ ἡμῶν. Καὶ πᾶσαν τὴν θέσιν τε καὶ στάσιν τούτου ἐμπείρως καὶ ἐπιστημόνως κατεσκευασάμην, καὶ συνελὼν φάναι, νέον αὐτὸν κατέστησα Παράδεισον, καθὼς ὁρᾶτε· μεθ' ὧν καὶ ἱερὰ οὐ μωμητὰ ἐποιησάμην ἐν αὐτῷ, καὶ βιβλία διάφορα κατεπλούτισα τοῦτον, καὶ πᾶσαν ἄλλην κατασκευὴν ἐδαψιλευσάμην αὐτῷ, καὶ κοινόβιον εἰλικρινέστατον καὶ ἄδολον αὐτὸν κατέστησα, καὶ ἐβεβαίωσα τοῦ μένειν ἀπαραποίητον καὶ ἀσάλευτον, λεγόμενόν τε ὁμοῦ καὶ πραττόμενον, ὡς τὰ λοιπὰ καθαρά τε καὶ ἀμιγῆ Κοινόβια, μηδενὸς τὸ οὐδοπωστιοῦν παρενοχλουμένου ἢ παρορωμένου τῶν τῆς Μονῆς μοναχῶν ἢ ἄλλων. Μετὰ γοῦν τὴν τελείαν αὐτοῦ καὶ τῶν ἐν αὐτῷ πάντων ἀπάρτησιν, παρατίθημι αὐτὸν καὶ τὰ παρ' αὐτῷ καὶ ἐν αὐτῷ ἐν ταῖς χερσὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ Σωτῆρος Θεοῦ, οὗ καὶ τοῦ ὀνόματος πεπλούτικέ τε τὴν κλῆσιν, φρουρεῖσθαί τε καὶ αὔξεσθαι ἔτι καὶ ἔτι ὑπ' αὐτοῦ.

Νῦν δὲ ἐπὶ τούτοις δέομαι καὶ ἀντιβολῶ ἕνα ἕκαστον τῶν μετ' ἐμὲ τὴν προστασίαν τε καὶ προεδρίαν δεξόμενον ἐκ τῶν τῆς Μητροπόλεως Λαρίσσης, καὶ ἔτι ὡς παρόντι διαλέγομαι αὐτῷ ἀδελφοπρεπῶς τε καὶ μᾶλλον θεοφιλῶς καὶ χριστομιμήτως, τῷ τὴν αὐτὴν ἐμοὶ θεόθεν κληρωθέντι προεδρίαν. Νεῦσον ἱλαρῶς τε καὶ προσηνῶς πρὸς τοὺς ἀμετρήτους ἡμῶν κόπους τε καὶ ἱδρῶτας, οὓς διὰ Χριστὸν ἀόκνως ἐξέχεα καὶ ἐτέλεσα, καὶ ἔνθες τῷ σῷ νοὶ ἡλίκα ἔργα ἐξετέλεσα ζεούσῃ τε καρδίᾳ καὶ θερμῷ καὶ πολυσκέπτῳ λογισμῷ. ἐν τῇ Μονῇ λέγω τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τῇ ὑπερκειμένῃ τῶν Μεγάλων Πυλῶν. Καὶ τυράννησον τὸν σὸν λογισμὸν θεοφιλῶς, κατασκοπῶν τὴν στάσιν τε καὶ θέσιν αὐτῆς οἵα ἐξ οἵων κατέστη κόπῳ τε καὶ μόχθῳ οὐ μετρητῷ. Καὶ ταῦτα καλῶς κατόπτευσον, ὄρεξον αὐτῇ μοι χεῖρα βοηθείας λόγῳ τε καὶ ἔργῳ, καὶ παθῶν πονηρῶν κακοβουλίαν τε καὶ πονηρίαν ἐξ αὐτῆς ἀπόστρεψον, καὶ εἰς τέλος ἐξαφάνισον. Ἀποσόβησον τοὺς κατ' αὐτῆς ἐγειρομένους τῇ σφενδόνῃ τῶν θείων λόγων σου, πρόστηθι ταύτης, ὑπεράσπισαι αὐτῆς, ῥῦσαι ταύτην ἐξ ἀντιλογίας κακῶν. Στήριξον τὰ τέκνα αὐτῆς καὶ σά, ἐφάπλωσον αὐτοῖς τῇ σῇ θεόθεν δοθείσῃ θείᾳ σκέπῃ, ἐπισυνάγαγε τὰ διεσκορπισμένα αὐτῆς δι' ἀπειλῶν, διὰ παραινέσεων, διὰ νουθεσιῶν, εὐκαίρως, ἀκαίρως, ὡς οἷα πατὴρ τε καὶ ποιμὴν φιλοστοργότατος. Καὶ παντοίοις ἔτι κατακόσμησον αὐτὴν θείοις χαρίσμασιν, οὐ δι' ἐμὴν λέγω



ταῦτα χάριν, ἀλλ' ἕνεκεν τοῦ πλάσαντος καὶ τιμήσαντος ἡμᾶς, καὶ δι' ἀγάπης ἀπείρου εἰς θάνατον δόντος ἑαυτόν, καὶ σὺν ἡμῖν ἐξαγοράσαντος ταύτην τῷ ἰδίῳ αἵματι, παρ' οὗ καὶ τὰς τῶν ἔργων ἀπαιτησόμεθα διαφοράς, καὶ τὸν μισθὸν ληψόμεθα κατὰ τὰς ἐπιθυμίας τῶν καρδιῶν. Οὐκ ἤμην δὲ ἐγὼ ἕτερος τοποτηρητής, ἀλλὰ τὸ αὐτὸ καὶ ἐν σοί, καὶ τὴν ἐμὴν αὐτόν σε οἴομαι ἔχειν διάθεσίν τε καὶ προαίρεσιν, μὴ τὸ τυχὸν παραλλάττειν ἢ ἀντιπράττειν ἐν ἅπασιν, ἐπὶ τῇ προφάσει ὅτι τοῦ αὐτοῦ καὶ ἑνὸς ἐσμεν Δεσπότου, καὶ ἐν ἀμφοτέροις τὸ λειτούργημα, τὸ οἰκονομεῖν τε καὶ πράττειν τὰ αὐτῷ μὴ ἀπαρέσκοντα, ἀλλὰ καὶ τὰ ὑφ' ἑτέρου δι' αὐτὸν κτισθέντα, καταρτίζειν τε ἀλλήλους τὰ κατά τι διαφέροντα καὶ διορθοῦν. Ὡσαύτως δὲ οἴομαί σε διακεῖσθαι καὶ εἰς ἅπασάν μου τὴν κατὰ Θεὸν ἐργασίαν, καὶ μᾶλλον ἐν τῇ διαληφθείσῃ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ Μονῇ, ἐν ᾗ καὶ τοὺς ἐμοὺς κατέρρευσα ἱδρῶτας, καὶ οὕτως ἔσο πρὸς τῆς αὐτῆς Ἁγίας Τριάδος, ἣν ἅπαντες οἱ τὸ αὐτὸ λαβόντες βάπτισμα πρεσβεύομεν. Ἔτι δὲ δέομαι, καὶ δεόμενος οὐ παύσομαι, ἕως ὅτου καὶ σὲ τὸν αὐτὸν ἐμὸν κασίγνητον καὶ ἄκοντα ἐπικάμψομαι, ὅπως τῶν ὤτων ὦσί σου ἡ ψυχὴ καὶ ἡ καρδία εἰς τὴν ἀντίληψιν αὐτῆς, καὶ ὡς ἴδιον κτῆμα λογίζῃ ταύτην. Καὶ ὅσα ἂν ἐμοὶ αὐτῷ παρείλειπται συμφέροντα τῆς Μονῆς ἀμελείᾳ τινί, ἢ ἀδυναμίᾳ, ἢ καιροῦ οἰκονομίᾳ ἢ προσώπου τινός, ἢ λήθῃ, ἢ βίᾳ παρατυχούσῃ, σὺ αὐτός, ὦ προσφιλέστατε καὶ ἰσόψυχε ἀδελφὲ καὶ διάδοχε, τῶν αὐτῶν ἐμοὶ προστασιῶν πληρωτὴς ὀτρηρὸς γενοῦ καὶ πλουσιόδωρος. Καὶ ἔτι προνοητὴς ἔσο καλῶν τε καὶ θεαρέστων ἔργων ταύτης, ἵνα καὶ ἐν τῇ τῆς ἀποδόσεως ἡμέρᾳ τὸν αὐτὸν ὁμοῦ τῶν καλῶν οἰκονόμων δεξώμεθα μισθὸν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Ἀμήν.

Ἐκτέθειται οὖν ταῦτα παρ' ἐμοῦ, ἔτους τοῦ τρέχοντος ,ζμγ', ἰνδικτιῶν η', ἀπὸ δὲ Χριστοῦ 1535.

† Ὁ ταπεινὸς Μητροπολίτης Λαρίσσης ΒΗΣΣΑΡΙΩΝ.

(Ἕπονται αἱ τῶν διαδόχων του Ἀρχιεπισκόπων ὑποσχέσεις ὡς ἐξῆς.)

— Τὰ ἄνωθεν γεγραμμένα δέχομαι καὶ ἀσπάζομαι καὶ φυλάττω ἕως ἐσχάτης μου ἀναπνοῆς, καὶ ὑπέγραψα ἐν ἔτει ,ζμθ', ἰνδικτ. ιδ', ἀπὸ δὲ Χριστοῦ γεννήσεως 1541.

† Ὁ ταπεινὸς Μητροπολίτης Λαρίσσης ΝΕΟΦΥΤΟΣ (ὁ καὶ ἀνεψιός του.)

— Τὰ ἄνωθεν γεγραμμένα δέχομαι καὶ ἀσπάζομαι καὶ φυλάττω ἕως ἐσχάτης μου ἀναπνοῆς.

† Ὁ ταπεινὸς Μητροπολίτης Λαρίσσης ΘΕΟΦΑΝΗΣ, ἔτος ,ζοζ'.

— Τὰ ἄνωθεν στέργω φυλάττειν, ὅσον εἰμί, ἄχρις ἐμῆς τελευτῆς·

τούτου χάριν καὶ ἰδίᾳ χειρὶ ὑπέγραψα ἔτει ,ζρβ', ἰνδικτιῶνος ζ', ἀπὸ Χριστοῦ γεννήσεως 1594, (καθ' ὃν χρόνον ἐμαρτύρησεν ὁ Ἅγ. Σεραφείμ.)

† Ὁ ταπεινὸς Μητροπολίτης Λαρίσσης ΔΙΟΝΥΣΙΟΣ.

— Εἰ Θεὸς δῷ, ὑπόσχομαι φυλάττειν ὅση δύναμις, καὶ τηρεῖν τήν τε Μονὴν καὶ τοὺς ἐν αὐτῇ ἀσκουμένους πατέρας.

† Ὁ ταπεινὸς Μητροπολίτης Λαρίσσης, ὁ ἐκ ΒΥΖΑΝΤΟΣ.

— Τὰ παρὰ τοῦ ἁγίου Πατρὸς ἡμῶν τῇ παρούσῃ ἐγκεχαραγμένα, εἰ Θεὸς δῷ, ὑπόσχομαι φυλάττειν ὅση δύναμις· οὗ χάρις οἰκείᾳ χειρὶ ὑπέγραψα ἐν ἔτει Σωτηρίῳ αψν', ἰνδικτιῶν ιγ'.

† Ὁ ταπεινὸς Μητροπολίτης Λαρίσσης ΜΕΛΕΤΙΟΣ, ὁ ἐκ τῆς λευκόφρονος νήσου τῆς Τροίας. (Οὗτος ἀφιέρωσε καὶ κτήματα τῇ Μονῇ.)

— Εἰ Θεὸς διδῷ, τὰ ἄνωθεν ὑπόσχομαι φυλάττειν μέχρις ἐσχάτης μου ἀναπνοῆς, οὗ χάριν καὶ ἰδιοχείρως μου ὑπέγραψα ἐν τῷ αψο' Σωτηρίῳ ἔτει, ἰνδικτιῶν γ'.

† Ὁ ταπεινὸς Μητροπολίτης Λαρίσσης ΜΕΛΕΤΙΟΣ ὁ Χῖος.

— Τὰ παρὰ τοῦ ἁγίου Πατρὸς ἡμῶν τῇ παρούσῃ ἐγκεχαραγμένα, εἰ Θεὸς διδῷ, ὑπόσχομαι φυλάττειν μέχρις ἐσχάτης μου ἀναπνοῆς· οὗ χάριν οἰκείᾳ χειρὶ ὑπέγραψα ἐν ἔτει Σωτηρίῳ αψκγ', ἰνδικτιῶν ια'.

† Ὁ ταπεινὸς Μητροπολίτης Λαρίσσης. ὁ ἐκ ΒΥΖΑΝΤΟΣ.

— Τὰ παρὰ τοῦ ἁγίου Πατρὸς ἡμῶν τῇ παρούσῃ ἐγκεχαραγμένα, εἰ Θεὸς διδῷ, ὑπόσχομαι φυλάττειν μέχρις ἐσχάτης μου ἀναπνοῆς· οὗ χάριν οἰκείᾳ χειρὶ ὑπέγραψα ἐν ἔτει Σωτηρίῳ αωλη', ἰνδικτιῶν ια'.

† Ὁ ταπεινὸς Μητροπολίτης Λαρίσσης ΑΝΑΝΙΑΣ, ὁ ἐκ Μυτιλήνης.

Διὰ τὸ ἀκριβὲς τῆς ἀντιγραφῆς

Ἐν τῇ ἱερᾷ Μονῇ τοῦ ἁγίου Βησσαρίωνος, ἐπιλεγομένῃ Δουσίκου, τῇ 29 Δεκεμβρίου 1893.

Ὁ τῆς αὐτῆς Μονῆς Ἡγούμενος καὶ Ἀρχιμανδρίτης
ΘΕΟΦΑΝΗΣ ΑΓΓΕΛΙΔΗΣ.



## Πρὸς τοὺς ἐν τῇ Μονῇ μοναχούς.

Ἀδελφοὶ καὶ πατέρες, οἱ θεόθεν κληθέντες, καὶ ἐν τῇ Σεβασμίᾳ Μονῇ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ Σωτῆρος Θεοῦ εἰσοικισθέντες, δεῦτε ἀκούσατε, καὶ διηγήσομαι ὑμῖν. Ὁ μὲν θεῖος Δαβὶδ φησιν, «Ἐρώτησον τὸν πατέρα σου, καὶ ἀναγγελεῖ σοι· τοὺς πρεσβυτέρους σου, καὶ ἐροῦσι·» ἐγὼ δέ, τὸν λόγον μικρὸν ἐναλλάξας, ἐρῶ πρὸς ὑμᾶς, «Ἐρωτήσατέ με, κἀγὼ ἀναγγελῶ ὑμῖν τὰ τοῦ Δεσπότου Χριστοῦ πρὸς πάντας,» ὃς τοῖς ἰδίοις αὐτοῦ συνὼν Μαθηταῖς καὶ Ἀποστόλοις ἔλεγεν· «*Ὁ ἀγαπῶν με τὸν λόγον μου τηρήσει, καὶ ὁ Πατήρ μου φιλήσει αὐτόν, καὶ ἐλευσόμεθα, καὶ μονὴν ποιησόμεθα ἐν αὐτῷ·*» καὶ ἔτι, «*Ὅστις θέλει ὀπίσω μου ἀκολουθεῖν, ἀπαρνησάσθω ἑαυτόν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθήτω μοι.*» Τί δὲ ἄλλο εἴη ἂν τὸ «ἀπαρνησάσθω ἑαυτόν» ἢ τὸ *ὡς νεκρὸν ἐσταυρωμένον λογιζέσθω ἑαυτόν;* Ὁ γὰρ ἐν σταυρῷ νεκρὸς προσηλωμένος, οὐδὲν ἕτερον ἔχει ἢ σῶμα νεκρὸν ἀνενέργητον καὶ ἀκίνητον πρὸς πᾶσαν κοσμικὴν ἐπιθυμίαν. Τοίνυν καὶ ὑμεῖς, οἱ τούτου μιμηταὶ καὶ φίλοι, καὶ ὀπαδοὶ γεγονότες ἑκουσίως καὶ δι' ἀγάπην αὐτοῦ, καὶ τὰ πάντα ὡς σκύβαλα ἡγησάμενοι κατὰ τὸν μέγαν Ἀπόστολον Παῦλον, ἵνα μόνον αὐτὸν κερδήσητε, νεκρώσατε τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς δι' ἐγκρατείας, διὰ ταπεινώσεως, δι' ὑπομονῆς, δι' ὑπακοῆς τῆς Χριστομιμήτου, καὶ νεκρὰ καὶ ἀνενέργητα ποιήσατε ταῦτα πρὸς πᾶσαν κοσμικὴν ἐπιθυμίαν καὶ ἡδονήν. Ἀντίστητε τὸν πολεμοῦντα ὑμᾶς, καὶ καθ' ἑκάστην λόγοις καὶ ἐνέδρας ἑτοιμάζοντα, καὶ ὡς λέοντα περιερχόμενον καὶ ὠρυόμενον, ζητοῦντα τίνα καταπίῃ, γυμνὸν ὄντα ἀρετῆς· ἀντίστητε αὐτόν, καὶ φεύξεται ἀφ' ὑμῶν· ἰσχὺν γὰρ οὐκ ἔχει, ὅπλα τε ἢ ἀμυντήρια οὐδαμῶς· «τοῦ ἐχθροῦ γὰρ εἰς τέλος ἐξέλιπον αἱ ῥομφαῖαι,» κατὰ τὸν θεῖον φάναι Δαβίδ. Καὶ ὥσπερ τὸ σκότος φύσιν ἰδίαν οὐκ ἔχει τοῦ γενέσθαι ἢ τὴν τοῦ φωτὸς ἀπουσίαν, οὕτω καὶ αὐτὸς ὁ ἐχθρός, καὶ νοητὸς δράκων καὶ ἀποστάτης δαίμων, δύναμιν ἰδίαν καὶ ἐνέργειαν οὐκ ἔχει, ἀλλὰ τὴν ἡμετέραν ἐνδύεται ἀμέλειαν ὁ ἀναλκής τε καὶ ἀνίσχυρος ὥσπερ τινὰ μεγάλην πανοπλίαν, καὶ καθ' ὑμῶν ὁπλίζεται καὶ πολεμεῖ. Διὸ γρηγορεῖτε, στήκετε, ἑδραῖοι γίνεσθε, ἵνα ἄπρακτον καὶ ἀνενέργητον τοῦτον ποιήσητε, καὶ νικηταὶ Χριστοῦ ἀναφανῆτε, καὶ τρόπαιον στήσητε κατὰ τοῦ ὑμετέρου πολεμίου. Πρὸ πάντων μὲν ἔχετε πρὸς ἀλλήλους ἀγάπην, τὴν κορωνίδα καὶ περικεφαλαίαν τῶν ἀρετῶν πασῶν,

τὴν ἑνοποιὸν καὶ θεοείκελον ἄντικρυς, τὴν πηγὴν καὶ ῥίζαν καὶ κορυφὴν τῶν ἀγαθῶν πάντων, ἣν καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ἡ αὐτοαγάπη ἐνετέλλετο ἔχειν τοῖς ἰδίοις αὐτοῦ μαθηταῖς. Διὸ καὶ ἔλεγεν αὐτοῖς· «Ἐν τούτῳ γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν »ἀγάπην ἔχητε πρὸς ἀλλήλους,» καὶ ἔτι «ὅλος ὁ νόμος καὶ οἱ Προφῆται »ἐν τούτῳ τῷ κεφαλαίῳ κρέμανται, ἐν τῷ ἀγαπήσεις Κύριον τὸν Θεόν »σου ἐξ ὅλης τῆς καρδίας σου καὶ ἐξ ὅλης τῆς ἰσχύος σου, καὶ τὸν »πλησίον σου ὡς ἑαυτόν.» Καὶ ὁ τούτου μαθητὴς καὶ φίλος καὶ ἐπιστήθιος καὶ θεοπόθητος Ἰωάννης ὁ Εὐαγγελιστής, ὁ τῆς βροντῆς υἱός, φησίν· «Ὁ Θεὸς ἀγάπη ἐστί, καὶ ὁ μένων ἐν τῇ ἀγαπῃ, ἐν τῷ Θεῷ μέ»νει, καὶ ὁ Θεὸς ἐν αὐτῷ» καὶ πάλιν ὁ αὐτὸς εἶπεν «Ἀδελφοί, ἐὰν »τις εἴπῃ ὅτι ἀγαπᾷ τὸν Θεόν, καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῇ, ψεύστης »ἐστίν· ὁ γὰρ μὴ ἀγαπῶν τὸν ἀδελφόν, ὃν ἑώρακε, τὸν Θεόν, ὃν οὐχ »ἑώρακε, πῶς δύναται ἀγαπᾷν; «Θεὸν οὐδεὶς ἑώρακε πώποτε» Βλεπετε, ἀδελφοί μου, ὅτι ἡ ἐν τῷ πλησίῳ ἀγάπη ἄπεισι πρὸς τὸν Θεόν; Διὸ μηδεὶς ταύτης ἀπολιμπανέσθω ἢ ψυγέσθω ταύτην, ὅτι ἡ ἐν τῷ πλησίῳ ἀγάπη ἄπεισι πρὸς τὸν Θεόν· αὕτη τοῖς ἀγγέλοις συνέχει ἐπὶ τὸ αὐτό, αὐτὴ καὶ ἡμῶν ἐξουσίαν ἐδεδώκει τοῦ τέκνα γενέσθαι Θεοῦ· μηδεὶς νομιζέτω πλήθει πολλῶν σωθῆναι ἀρετῶν ἀγάπης χωρίς· ἀδύνατον τοῦτο. Διὸ καὶ Παῦλος, τὸ στόμα τοῦ Κυρίου, ἀπειρήκει αὐτὸ πάμπαν· εἴρηκε γάρ· «Ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν Ἀγγέ»λων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν, ἢ κύμβαλον ἀλαλά»ζον· καὶ ἐὰν ἔχω προφητείαν, καὶ εἰδῶ τὰ μυστήρια πάντα καὶ πᾶσαν »τὴν γνῶσιν, καὶ ἐὰν ἔχω πίστιν, ὥστε ὄρη μεθιστάνειν, καὶ ἐὰν ψω»μίζω πάντα τὰ ὑπάρχοντά μου, καὶ ἐὰν παραδῶ τὸ σῶμά μου, ἵνα »καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι.» Ὁρᾶτε, ἀδελφοί μου, ἡλίκα κατορθώματα οὐκ ἴσχυον ὠφελῆσαι τὸν ἕως τρίτου οὐρανοῦ φθάσαντα ἀγάπης χωρίς; καὶ εἰ ἐκεῖνος, ὁ στόμα Κυρίου καὶ σκεῦος ἐκλογῆς ὑπ᾽ αὐτοῦ προσαγορευθείς, ἀγάπης χωρὶς οὐδὲν ἴσχυε κατορθῶσαι, ἡμεῖς τί ποιήσωμεν αὐτῆς χωρίς; Οὐδέν. Διὸ κατέχετε, παρακαλῶ, ταύτην ὅση δύναμις. Ὅθεν ἐκεῖνος, δεικνὺς τὰ ταύτης ἀξιέπαινα καὶ λαμπρότατα πλεονεκτήματα, ἐπάγει· «Ἡ ἀγάπη »μακροθυμεῖ, χρηστεύεται· ἡ ἀγάπη οὐ περπερεύεται,» ἤτουν κολακεύεται· ὁ ταύτην ἔχων οὐ γαυριᾷ, οὐκ ἐπαίρεται· «οὐ ζηλοῖ, οὐκ ἀσχημο»νεῖ, οὐ ζητεῖ τὰ ἑαυτῆς, οὐ παροξύνεται, οὐ λογίζεται τὸ κακόν, οὐ χαί»ρει ἐπὶ τῇ ἀδικίᾳ, συγχαίρει δὲ τῇ ἀληθείᾳ, πάντα στέγει, πάντα πι»στεύει, πάντα ἐλπιζει, πάντα ὑπομένει· ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει·» ἡ



ἀγάπη τῷ πλησίῳ κακὸν οὐ κατεργάζεται.» Καὶ τί λέγω ταῦτα, ὅπου καὶ αὐτὸς ὁ Θεός, ἡ Αὐταγάπη, δι᾽ αὐτῆς ἔστειλε τὸν Υἱὸν αὐτοῦ τὸν Μονογενῆ, τὸν Κύριον καὶ Θεὸν ἡμῶν Ἰησοῦν Χριστόν, γεννηθῆναι ἐκ Γυναικός, τῆς Θεοτόκου Μαρίας, καὶ κατάρα ἐπὶ Σταυροῦ λογισθῆναι κατὰ τὸν Παῦλον, ἵνα ταύτης ἡμᾶς ἐξαγοράσηται; Ὅς φησιν· «Οὐκ ἔστιν ἀγάπη μείζων τούτου, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ.» Σὺν αὐτῇ δὲ καὶ εἰρήνην ἔχετε πρὸς ἀλλήλους, καὶ ἀλλήλους εἰρηνοποιεῖτε, ἵνα Θεοῦ κληθήσησθε υἱοί· μακάριοι γάρ, φησίν, οἱ εἰρηνοποιοί, ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται. Ἔχετε δὲ καὶ ὁμόνοιαν τὴν ταύτης συγγενίδα, ἵνα τὸν Θεὸν ἔχητε συνοικοῦντα ὑμῖν· ὅπου γάρ, φησίν, εἰσὶ δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν. Μνησικακία ἀπέστω ἀφ᾽ ὑμῶν, ἡ θεοστυγής τε καὶ δαιμονοφιλής, ἥτις πολλοὺς καὶ ἐξ αὐτῆς τῆς τελειότητος εἰς χάος, οἴμοι! ἀπέρριψε, καὶ στεφάνων θείων ὑστέρησε. Φιλονεικία μηδαμῶς ἐν ὑμῖν φανήσεταί που, ἥτις, μικρὸν κατὰ μικρὸν αὐξανομένη, ἵστησι τὴν ταύτης ὀλέθριον κεφαλὴν ἄχρις οὐρανοῦ. Ἀντιλογία δὲ μηδαμῶς, ἵνα μὴ τῆς ἐπηγγελμένης στερηθήσησθε γῆς, τῆς οὐρανίου, λέγω, Ἱερουσαλήμ. Τοῦτο καὶ ὁ θεόπτης πέπονθε Μωϋσῆς ὁ πάνυ, ὁ στόμα πρὸς στόμα λαλήσας τῷ Θεῷ, ὡς εἴ τις λαλήσει πρὸς ἑαυτοῦ φίλον· ἀλλ᾽ ἐκεῖνος μὲν τῆς κάτω καὶ κοινῆς, ἣν καὶ οἱ ἐναγεῖς καὶ βέβηλοι πατοῦσι πόδες, ὑμεῖς δὲ τῆς ἄνω, ἣν οἱ τῶν Πραέων πατοῦσι μόνον πόδες· κἀκεῖνος κἂν τῇ φιλοταράχῳ καὶ θεοστυγεῖ τῶν Ἰουδαίων βιαζόμενος γνώμῃ, ὑμεῖς δὲ αὐτοκινήτως τε καὶ αὐθαιρέτως κινούμενοι, ἀντιλογούμεθα· διὸ καὶ τὸ ἁμάρτημα πλέον ἐν ὑμῖν, σκάνδαλον τὸ παρατυχὸν μὴ ἐξερχέσθω ἀφ᾽ ὑμῶν, ἵνα μὴ τὸν δεσπότην Χριστὸν σχῆτε ὑμᾶς ταλανίζοντα, ὅς φησιν· «Ἀνάγκη τῷ κόσμῳ ἐλθεῖν τὰ σκάνδαλα· οὐαὶ δὲ τῷ ἀνθρώπῳ, δι᾽ οὗ τὸ σκάνδαλον ἔρχεται·» καὶ εἰ ὁ Χριστὸς ὁ ταλανίζων, ὁ παρακαλῶν τίς; Οὐδείς. Μηδεὶς ἐξ ὑμῶν ὑπερηφανευέσθω, ἵνα μὴ τὸν Κύριον πολέμιον ἕξητε· «Κύριος γὰρ ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν.» Καὶ ὁ Δαβίδ, «σὺ ἐταπείνωσας ὡς τραυματίαν ὑπερήφανον,» ὃς οὐδὲ κατῴκει, οὐδὲ συνήσθιεν ὑπερηφάνῳ. Διὸ καὶ παρρησιαζόμενος ἐπὶ τούτῳ ἔλεγε μετὰ παρρησίας πρὸς τὸν Κύριον· «Ὑπερηφάνῳ ὀφθαλμῷ καὶ ἀπλήστῳ καρδίᾳ, τούτῳ οὐ »συνήσθιον, καὶ οὐ κατῴκει ἐν μέσῳ τῆς οἰκίας μου ποιῶν ὑπερηφανίαν.» Συνίετε· εἰ Δαβὶδ τοίνυν ὁ τοιοῦτος καὶ τηλικοῦτος ὑπερηφάνῳ οὐ κατῴκει, οὐδὲ συνήσθιεν, ὁ τοσούτων καὶ τηλικούτων ἀρετῶν πεπληρωμένος, πῶς ἡμεῖς, οἱ μηδὲ ὀνόματι ψιλῷ τῆς ἐκείνου καταξιωθέντες μοίρας,

ἀνεξόμεθα συνοικεῖν ἢ συνεσθίειν προφανῶς ὑπερηφάνοις καὶ ἀλαζόσι ; Μή, παρακαλῶ, μή· ἀλλ' ὡς λύμην τούτους ἐκφύγετε μεταδοτικήν· μηδεὶς φιλοδοξείτω ἢ φιλαρχέτω, ὀλέθριον τὸ πάθος. Διὸ καὶ ὁ Χριστὸς ἀπέπεμψεν αὐτὸ τοῖς ἔθνεσιν, οὐ τοῖς Ἀποστόλοις· τούτοις δὲ εἶπε· «Ἐν »ὑμῖν οὐχ οὕτως, ἀλλ' ὁ θέλων πρῶτος εἶναι, ἔστω πάντων ἔσχατος, καὶ »πάντων διάκονος·» καὶ ἐν τῷ τοὺς πόδας αὐτῶν νίψασθαι ἔλεγεν· «Ἐ»γνώκατε, τί πεποίηκα ὑμῖν ; Ὑμεῖς φωνεῖτέ με, ὁ Κύριος καὶ ὁ Διδά»σκαλος ἡμῶν· καὶ καλῶς λέγετε· εἰμὶ γάρ. Εἰ οὖν ἐγώ, ὁ Κύριος καὶ ὁ »Διδάσκαλος, ἔνιψα τοὺς πόδας ὑμῶν, καὶ ὑμεῖς ὀφείλετε ἀλλήλων νί»πτειν τοὺς πόδας ὑπόδειγμα δέδωκα ὑμῖν, ἵνα, ὃ ἐὰν ἐγὼ ποιῶ, καὶ »ὑμεῖς ὁμοίως ποιῆτε.» Ὁρᾶτε μηχανὴν ὑπερβολικὴν ἀντίτυπον καὶ ἀντίθετον φιλοδοξίας καὶ φιλαρχίας τοῦ Δεσπότου ; Δι' αὐτῆς αἰσχύνων τὸν ταύτης δημιουργὸν Διάβολον· ἐκεῖνος τὸ κατ' ἀρχὰς αὐτὴν ἐπεδείξατο, διὸ καὶ κατηνέχθη πτῶμα ἐξαίσιον, καὶ ἐξ Ἀγγέλων ἐγένετο δαίμων, καὶ ἀπὸ φῶς κατέστη σκότος· ἔτι δὲ καὶ τὸν Ἀδάμ, εἰ καὶ ἡ θεία Γραφὴ ἄλλως οἰκονομεῖται πρὸς τὴν ἐκείνου γύμνωσίν τε καὶ ἐξορίαν διὰ τὴν γνώμην τῶν ἁπλουστέρων, ὡς καὶ ἄλλα εἴωθε ποιεῖν, ἀλλ' οὖν αὐτὴ καὶ τοῦτον ἐξέωσε τῆς τρυφῆς τοῦ Παραδείσου· αὕτη δὲ καὶ τὸν μεγάλαυχον ἐκεῖνον Φαρισαῖον τῶν πολλῶν καὶ μεγάλων ἐγύμνωσεν ἀρετῶν. Ὢ φιλοδοξία δαιμονιώδης καὶ Θεοῦ ἀποστάτις, οἵους ἐξ οἵων τοὺς φιλοῦντάς σε κατασκευάζεις ! ἔτι δὲ καὶ τοὺς σὲ ἀνεχομένους οἵας αὐτοὺς πληροῖς αἰσχύνης ! Ὀλέτειρα, θυμοφθόρε, κολάσεως ὄργανον ! Μακάριος ὄντως καὶ τρισμακάριστος ὁ ἀποφυγών σε ! Ταῦτα οὖν εἰδὼς καὶ ὁ θεῖος Δαβίδ, ὁ προφήτης καὶ Βασιλεύς, καὶ φοβούμενος ἔλεγεν· «Ἐγώ εἰμι σκώ»ληξ καὶ οὐκ ἄνθρωπος, ὄνειδος ἀνθρώπων καὶ ἐξουθένημα λαοῦ.» Ὢ Δαβὶδ μακάριε, τί φής ; σὺ ὁ μαρτυρηθεὶς ὑπὸ τοῦ Θεοῦ πληρωτὴς τῶν αὐτοῦ θελημάτων λέγεις ταῦτα ; «Εὗρον Δαβὶδ τὸν τοῦ Ἰεσσαί, ἄνδρα »κατὰ τὴν καρδίαν μου, ὃς πληρώσει πάντα τὰ θελήματά μου» Εἰ καὶ πρὸς ἕτερον ἡ ἀναγωγή, ἀλλ' οὐ πρὸς τοῦτον ἡ ἱστορία. Ἔτι δὲ καὶ Παῦλος, τὸ σκεῦος τῆς ἐκλογῆς, ὁ ἕως τρίτου φθάσας οὐρανοῦ καὶ ἄρρητα ἀκούσας, ὁ μετὰ τοσούτους καὶ τηλικούτους καμάτους συζῶν, ἀποστρεφόμενος ταύτην, ἔλεγεν· «Οὐκ εἰμὶ ἱκανὸς ἀπόστολος καλεῖσθαι.» Τί λέγεις, ὦ Παῦλε παμμακάριστε, καὶ κλητὲ Ἀπόστολε Κυρίου, σκεῦος ἐκλογῆς Κυρίου, ὁ ὑπὲρ τῶν ἄλλων κοπιάσας ἀποστόλων ἐν τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ ; οὐχ ὑπάρχεις ἱκανὸς ἀπόστολος καλεῖσθαι, ὁ τοσούτων καὶ τηλικούτων χαρισμάτων ἀνάπλεως γενόμενος ; Ναί, μοὶ ἀποκρινεῖται αὐτός· φυλάττων μου τὸν θησαυρὸν ἀσύλητον τῶν ἀρετῶν, φοβοῦμαι



μήπως, ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι, καὶ σκορπίσω τὸν πλοῦτον τῶν χαρισμάτων μου τῷ ἀνέμῳ τῆς δοκοφροσύνης· διὸ καὶ πᾶσιν ὑμῖν ἐντέλλομαι μὴ γίνεσθαι φρόνιμοι παρ' ἑαυτοῖς, καὶ μὴ φρονεῖν παρ' ὃ δεῖ φρονεῖν. Φοβεῖ με δὲ μᾶλλον καὶ τὸ τοῦ ἀποστάτου παράδειγμα· ἐκεῖνος ὑπερηφανευόμενος καὶ φιλοδοξούμενος ἔλεγεν ἐν ἑαυτῷ. *θήσω τὸν θρόνον μου ἐπάνω τῶν νεφελῶν, καὶ ἔσομαι ὅμοιος τῷ Ὑψίστῳ*, διὸ καὶ κατηνέχθη ἐλεεινῶς ἐν τῷ Ταρτάρῳ. Φοβεῖ με καὶ ἡ τοῦ Πέτρου, τοῦ κορυφαίου τῶν Ἀποστόλων, καύχησις, ὅς ποτε πρὸς τὸν Δεσπότην ἔλεγε Χριστὸν ἐν τῷ τῆς παραδόσεως αὐτοῦ καιρῷ, *εἰ πάντες σκανδαλισθήσονται ἐν σοί. ἐγὼ δὲ οὐδέποτε σκανδαλισθήσομαι*· καὶ πάλιν, *κἂν δέῃ με σὺν σοὶ ἀποθανεῖν, οὐ μή σε ἀπαρνήσομαι*, ἀλλ' οὐκ ἴσχυσεν εἰς τέλος ἀγαγεῖν· ἠρνήσατο γὰρ τρίτον· διὸ τούτῳ αὐτὸς ἀσφαλιζόμενος ἑαυτὸν ἔλεγεν· Οὐ κομπάζω, οὐκ ἐπαίρομαι, οὐ φρονῶ παρ' ὃ δεῖ φρονεῖν. Τοίνυν εἰ Παῦλος, ὁ τοσοῦτος καὶ τηλικοῦτος ταῦτα φρονεῖ καὶ λέγει περὶ τῆς κενῆς ταύτης φιλοδοξίας καὶ φιλαρχίας ὁμοῦ καὶ δοκοφροσύνης, ἡμεῖς τί γενώμεθα ; Οὐδὲν ἄλλο δυνάμεθα, εἰμὴ τὸ ταύτην ἐκποδὼν ποιῆσαι, καὶ μηδόλως ὑπερηφανεύεσθαι καὶ γαυριᾶσθαι, ἵνα μὴ καὶ αὐτοὶ πτῶμα γένησθε ἐξαίσιον, καὶ κατενεχθῆτε ἐν τῷ Ταρτάρῳ, ἔνθα καὶ ὁ πρῶτος ὑπερηφανευθεὶς Δαίμων. Διὰ τοῦτο, παρακαλῶ ὑμᾶς, ἀδελφοί, ἀποστράφητε τὴν φιλοδοξίαν, τὴν φιλαρχίαν ὅσην ἔχετε δύναμιν, ἵνα ἀξιωθῆτε τῶν αὐτῶν γερῶν τῷ Παύλῳ, τῷ ταῦτα φιλοσοφήσαντι καὶ ἐξασκήσαντι ὑπὲρ πάντων· ἀγωνίζεσθε, ἕως καιρὸν ἔχετε· ὁ μὲν γὰρ καιρὸς ὀλίγος καὶ οἱ κόποι πρόσκαιροι, ἀλλ' οἱ στέφανοι καὶ ἡ οὐράνιος Βασιλεία αἰώνιος. Μηδεὶς ἐξ ὑμῶν κακιζέτω τὸν τόπον καὶ τὴν οἴκησιν τοῦ Μοναστηρίου, μεμψίμοιρος ἤτοι φιλεγκλήμων ὤν, τὴν ἰδίαν ὡσανεὶ θεραπεύων ῥαθυμίαν, διότι οὐχ ὁ τόπος, ἀλλ' ὁ τρόπος τὴν ὀρθὴν ἐπιτηδεύει· εἰ γὰρ ὁ τόπος εἶχεν, ὥς φασί τινες τὴν ἀρετήν, ὠφέλησεν ἂν τὸν Ἀδὰμ ὁ παράδεισος καὶ ἔβλαψε τὰ Σόδομα τὸν Λώτ· οὐκ ἔστι δὲ οὕτω.

Διὸ ὁ μὲν Ἀδάμ, ἐν Παραδείσῳ ὤν, ἔνθα παραβάται οὐχ ὑπῆρχον, οὐδὲ ἕτερά τινα ἐπιτηδεύοντες κακά, ἵνα ἔχῃ ἀφορμὴν ἐκ τούτου ἁμαρτῆσαι, ἀλλ' ὅμως παρέβη καὶ ἐξώσθη καὶ κατεκρίθη ἄχρι τῆς τοῦ Χριστοῦ Ἀναστάσεως· ὁ δὲ Λώτ, οἰκῶν ἐν μέσοις αὐτοῖς Σοδόμοις, ὁρῶν συνεχῶς ἀνθρώπους ἁμαρτάνοντας, κλέπτοντας, ἀκολασταίνοντας, μυρία ἀδεῶς ἐργαζομένους, κακὰ δεινά τε καὶ χαλεπά, καὶ οὐδὲν ἐκείνων ἐκοινώνει τῶν ἔργων, οὐδὲ τῆς ἑαυτοῦ παρετράπη γνώμης. Ἀλλ' ὅρα, μετὰ τὸ ἐξελθεῖν αὐτὸν ἐκεῖθεν, καὶ ἀνελθεῖν ἐν τῷ ὄρει, ἐν τῇ ἡσυχίᾳ, ἐν τῇ

ἠρεμίᾳ, ἐν τῇ γαλήνῃ, ἔνθα οὐδένα εἶχεν εἰς θέαν τῶν Σοδομητῶν, καὶ οὐδένα ἑώρα κακοπραγοῦντα, ἔνθα ἐχρῆν αὐτῷ πλέον ἐπιτείνεσθαι ἐπ' ἀρετήν, καὶ δοξάζειν τὸν ἐκβαλόντα αὐτὸν τῶν Σοδόμων, καὶ ἐκείνων τῶν πονηρῶν ἐργασιῶν ῥυσάμενον, τότε, ἀμελήσας καὶ τῇ ἐρημίᾳ τὸ πᾶν ἐπιγράψας, κεκάρωτο τοῦ οἴνου, καὶ γέγονε πατρόγαμος, ὁ μέγας, ὁ ἐνάρετος, ὁ θαυμαστός, ὁ τοῦ Ἀβραὰμ ἀδελφιδοῦς, τοῦ φίλου τοῦ Θεοῦ, τοῦ ξεναγήσαντος αὐτόν. Οἴμοι! ὁ ἐν τῷ κλύδωνι διασωθείς, πῶς ἐν τῷ λιμένι ἐναυάγησεν; Ὦ ἀμέλεια ψυχολέτειρα, οἷα εἰργάσω κακά, καὶ ἔτι μᾶλλον ἐργάζῃ! ἀθλία! Τῇ τιμῇ ἐστὲ ἀλλήλους προηγούμενοι. Παῦλος τοῦτο διακελεύεται. Ὁ ὕστερος τῷ πρώτῳ παραχωρείτω τῆς καθέδρας· ὁ πρῶτος τὰ τοῦ ἐλάσσονος ἀνεχέτω, ἀκαίρως τε καὶ βίᾳ λαληθέντα, τὴν τοῦ ἐλάσσονος ἀνεχόμενος ἀσθένειαν· ὀφείλομεν γὰρ ἡμεῖς οἱ δυνατοὶ τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαστάζειν, καὶ μὴ ἑαυτοῖς ἀρέσκειν. Ἕκαστος ὑμῶν τῷ πλησίον ἀρεσκέτω εἰς τὸ ἀγαθὸν πρὸς οἰκοδομήν τινα· καὶ γὰρ ὁ Χριστὸς οὐχ ἑαυτῷ ἤρεσε κατὰ τό, οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσον ἐπ' ἐμέ Καὶ τί ἕνα ἕκαστον ἠρξάμην λέγειν τε καὶ ὀνομάζειν; Εἰ γὰρ στόματα εἶεν ἐν ἐμοί, καὶ γλῶσσαι χάλκειαι τοιαῦται, οὐκ ἂν ἴσχυσα τοῦ διὰ γραφῆς παραδοῦναι, ἐπέλειψεν ἄν με διηγούμενον ὁ χρόνος.

Συνελὼν οὖν φάναι ὑμῖν. Ὅσα τε φευκτὰ καὶ μισητά, καὶ ἀπόβλητα δοκοῦσιν ὑμῖν, ταῦτα πρὸς ἑτέρους μὴ ἐπιτηδεύητε, μηδὲ συρράπτητε· ὅσα δὲ ἐκ τῶν θείων Γραφῶν ἀκούετε ξένα καὶ ἀλλότρια, τῆς μοναδικῆς τάξεώς τε καὶ πολιτείας, ταῦτα ἀποπέμπετε καὶ ἀποδιώκετε ἀφ' ὑμῶν πόρρω. Ὅσα δὲ πάλιν θεοφιλῆ, καὶ φιλάλληλα καὶ τῆς ὑμετέρας πολιτείας ἐπάξια, ἐπιμελῶς ἅπαντες διέρχεσθε. Ὁ ὕστερος τὸν πρῶτον καταλαμβανέτω ἐν πάσῃ ἀρετῇ ἀγαθῇ, καὶ συνεχέτω τούτῳ, ἁμιλλώμενος αὐτῷ τὴν καλὴν ἅμιλλαν. Αἱ ἡμέραι ἔστωσαν ὑμᾶς διαδεχόμεναι ἐκ τῶν ὕμνων ὑπὲρ ἔργων θεοφιλῶν τε καὶ κοινῶν, ἐργαζομένων τε καὶ κοπιώντων ὑμῶν, καὶ περισσευόντων, κατὰ τὸν Ἀπόσταλον, εἰς τὸ καὶ ἑτέροις μεταδιδόναι καὶ μὴ μόνον λαμβάνειν· οὐκ ἐπαινετὸν γὰρ τοῦτο. Μακάριόν ἐστι διδόναι μᾶλλον ἢ λαμβάνειν· τὸ μὲν γὰρ χρέους ἀπότισις, τὸ δὲ μισθοῦ ἐλπίς τε καὶ λῆψις. Οὕτω ποιεῖτε, ἵνα καὶ τῆς τροφῆς ὑμῶν κατὰ τὸν αὐτὸν Ἀπόστολον ἄξιοι γένησθε, φησὶ γάρ· «Ἄξιος ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ,» καὶ μὴ ἀκούσητε τό, ὁ μὴ ἐργαζόμενος μηδὲ ἐσθιέτω. Μηδὲ ῥᾳθυμία πολιτευέσθω ἐν ὑμῖν ἄνευ γήρως ἢ ἀσθενείας, ἵνα μὴ παρ' αὐτοῦ τοῦ Ἀποστόλου σὺν τῷ προρρηθέντι περὶ τοῦ ἀέργου καὶ τὸ σημειοῦσθαι αὐταῖς ἀκούσητε· οὐδὲν



γὰρ οὕτως, οἶμαι, ὁ Θεὸς μισεῖ καὶ ἀποστρέφεται, ὡς τὸν ἀμελῶς καὶ ῥᾳθύμως διακείμενον, καὶ χεῖρας ἐποπτεύοντα καὶ σκοποῦντα ἀλλοτρίας. Οὗτος ὡς κύων μακέλλοις ἀπεικάζεται, ῥινηλατῶν ἐν κοπρίᾳ, εἴ που ἂν εὕροι τὸ παραρριφθέν, καὶ λήψεται χαίνων τῷ στόματι αὐτοῦ πικρῶς τε καὶ αἰσχρῶς, καὶ μᾶλλον ἐλεεινῶς. Διὸ καὶ ὁ σοφώτατος Σολομών, αἰσχυνόμενος τοῦτον, ἔλεγε, καὶ ἔτι λέγει· «Ὦ ὀκνηρέ, πορεύθητι πρὸς »τὸν μύρμηκα καὶ ζήλωσον, εἰδὼς τὰς ὁδοὺς αὐτοῦ, ὃς οὐκ ἔχει τὸν »ἀναγκάζοντα, καὶ θέρους ἑτοιμάζει τὴν τροφὴν αὐτοῦ· ἢ πορεύθητι »πρὸς τὴν μέλισσαν, καὶ μάθε ὡς ἐργάτις ἐστίν.» Ἀλλὰ δὴ καὶ ὡς ἀποκρινόμενος πρός τινα, ἢ μᾶλλον καυχώμενος ἐπὶ τῷ κατορθώματι, ἔλεγε· «Σῖτα ὀκνηρὰ οὐκ ἔφαγον.» Διὸ παρακαλῶ ὑμᾶς, ἀδελφοί, κοπιᾶν καὶ ἐργάζεσθαι ἀδιαλείπτως ταῖς ἰδίαις χερσίν, ἵνα ἔχητε καὶ ἑτέρους μεταδιδόναι, καὶ μὴ ἀμελῶς καὶ ῥᾳθύμως διακεῖσθαι, ἵνα μὴ καὶ αὐτῶν τῶν μικροτάτων ζωϋφίων (λέγω δή, τοῦ μύρμηκος καὶ τῆς μελίσσης,) χείρονες κριθῆτε, καὶ ἐπιβαρεῖς τοῖς πολλοῖς δόξητε. Μή, παρακαλῶ, μή· ὁ γὰρ μακάριος καὶ μέγας Παῦλος ὁ Ἀπόστολος ὑπέμεινε διετίαν ὅλην ἐργαζόμενος ἐν ἰδίῳ μισθώματι ἐν τῇ μεγάλῃ πόλει Ῥώμῃ, καὶ ἐξ ὧν εἰργάζετο ἔτρεφέ τε αὐτὸν καὶ τοῖς προσερχομένοις διδάσκεσθαι παρ' αὐτοῦ. Διὸ καὶ παρρησιαζόμενος ἔλεγεν, (ἐπαινῶν, οἶμαι, τὸ ἐργάζεσθαι,) *αἱ χεῖρες αὗται διηκόνησαν ἐμοὶ καὶ τοῖς σὺν ἐμοί.* Μηδεὶς τῶν λοιπῶν φιλευσχημονείτω, ἢ φιλοκοσμείτω, ἢ ἄλλο τι τῶν ἐνδυμάτων αὐτοῦ ἢ ὑποδημάτων καινῷ τε καὶ ἐπιτηδειοτέρῳ τῶν λοιπῶν ἐπιζητείτω· ἀλλὰ τὰ αὐτὰ ὁ πρῶτος ἐχέτω καὶ στεργέτω τῷ δευτέρῳ, μηδὲν ἀνακρίνων. Μηδεὶς πολυετίαν εἰς βοήθημα προβαλλέσθω, λέγων· *Ἐγώ εἰμι οἰκῶν ἐν τῷ Μοναστηρίῳ τόσον ἢ τόσων χρόνων, καὶ ὃ φιλῶ ποιῶ·* ἀλλὰ καὶ ὁ νεωστὶ ἐν τῷ Μοναστηρίῳ παραγενόμενος, μετὰ τὸν νενομισμένον τῶν λοιπῶν Μοναστηρίων καιρόν, ἐχέτω ἴσον τῷ πρώτῳ πάντα, εἰ καὶ κατὰ τὰ ἄλλα δόκιμος φανήσεται. Μηδεὶς φιλιππευέτω τῶν ἄλλων, ἐπὶ πορείαν που στελλόμενος, ἀλλ' ὡς παρὰ τοῦ αὐτοῦ Ἡγουμένου προσταχθήσεται, στεργέτω εὐχαρίστως ἀπερχόμενος. Ἐν δὲ τῇ ὑμετέρᾳ συνάξει μηδένα ἐπιτιμᾶτε ὡς μὴ εἰδότα λέγειν, πρὸς τὸ μηδόλως φθέγξασθαί τι· ἀλλ' ἕνα ἕκαστον ἐὰν τῶν ἐκεῖ λέγειν ὅπερ ἀποκαλυφθήσεται θεόθεν αὐτῷ, ὥς φησιν ὁ Ἀπόστολος, ἐν τῇ ἐκκλησίᾳ σιγάτω ὁ πρῶτος, ἐάν τι ἀποκαλυφθήσεται τῷ δευτέρῳ. Ἐν δὲ τῇ κοινῇ τραπέζῃ ὑμῶν μηδεὶς πρωτοφιλοκαθεδρήσει, καὶ τὸν μὴ ἀνήκοντα αὐτῷ προκαταλάβῃ τόπον, ἵνα μὴ ἄρξηται κατὰ μικρὸν μικρὸν καταβιβάζεσθαι μετ' αἰσχύνης, καὶ τότε καταλάβῃ σὺν τῇ τῆς αἰδοῦς πείρᾳ τὸν πρέ-

ποντα αὐτῷ τόπον· ἀλλ' ἕκαστος ὑμῶν φιλοταπεινούσθω, καὶ τὸν ἔσχα-
τον καταλαμβανέτω τόπον κατὰ τὴν Κυριακὴν φωνήν, ἵνα ἄρξητε μετ'
εὐφημίας τὸν ἴδιον τόπον ἀναπληρεῖν παρὰ τῶν εἰδότων τὴν αὐτοῦ κα-
τάστασιν καὶ τὸν τόπον. Ἕτερος ἑτέρῳ ἐπικρατείτω, στηριζέτω τὸν
ἴδιον αὐτοῦ λογισμόν, ὁ ἕτερος τῷ ἐπιστήμονι μὴ ἐπικρυπτέτω ἀδελφῷ,
ἵνα μὴ χρονίσας γενήσεται αὐτῷ ἀνεξάλειπτος· τὸ γὰρ χρονίσαν πάθος
ἐν καρδίᾳ ἀνθρώπου γίνεται ὥσπερ φύσις· διὸ ἐξελέσθαι αὐτῷ ἀδύνατον·
διὰ τοῦτο λεγέτω, ἐξαγγειλάτω αὐτῷ, ἵνα παρὰ τοῦ ἀκούοντος τὴν θε-
ραπείαν δέξηται, ὡς ἐκεῖνος ὑπὸ Θεοῦ ὁδηγηθεὶς ἐκχέει αὐτῷ τὸ φάρμα-
κον. Μηδεὶς τῷ ἑτέρῳ αἰτίαν εἰς σκάνδαλον διδότω. Τὸν διὰ θυμοῦ
ἐπισκοτισθέντα μὴ ἐπιπαροξυνέτω, κατὰ τὸν λέγοντα, μὴ στίβαζε ἐπὶ
τὸ πῦρ ξύλα, ἤγουν τῷ θυμουμένῳ μηδόλως λάλει σκληρά, ἀλλ' ἱλαρά
τε καὶ μειλίχια, καταπραϋνέτω, καὶ διορθούτω. Μνήμην Γραφικὴν πα-
ρεισαγαγέτω παραδειγματικὴν ὡς ἀπόστολος Χριστοῦ, ὡς Θεοῦ οἰκονό-
μος· ὁ γὰρ μακάριος Παῦλος πρὸς τὸν οὕτως ἔχοντα ἔλεγε· «Τίς ἀσθενεῖ,
καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι;» Τῶν
θείων Γραφῶν ἐπιμελῶς ἀκροᾶσθε, καὶ ποιεῖτε τὰ καλῶς ἀκροώμενα,
ἵνα μακάριοι γένησθε· μακάριοι οἱ ἀκούοντες γὰρ τὸν λόγον τοῦ Θεοῦ,
καὶ ποιοῦντες αὐτόν. Μηδὲ μόνον στῆτε ἐν τῇ ἀκροάσει, ὅτι οὐχ οἱ ἀκροα-
ταὶ τοῦ νόμου δίκαιοι παρὰ τῷ Θεῷ, ἀλλ' οἱ ποιηταὶ αὐτοῦ δικαιωθή-
σονται. Σὺν πᾶσιν οὖν τοῖς εἰρημένοις εἰρήσθω καὶ ταῦτα, ἐν οἷς καὶ
ἔτι μᾶλλον τὰ ὦτα ὑμῶν ἐπιτείνατε, καὶ τὸν νοῦν ἐπισυναγάγετε ὅση
δύναμις πάρεστιν ἑκάστῳ ὑμῶν. Ὦ θειότατοι Πατέρες καὶ ἀδελφοί,
εἰσί τινες βουλόμενοι τοῦ μονάσαι, καὶ τοὺς οἴκους αὐτῶν καὶ τὰ ἄλλα
ἀφίνουσιν ἴσως, καὶ ἔρχονται πρὸς τὸ Μοναστήριον· καὶ αὐτοὶ μὲν εἰσέρ-
χονται, καὶ δίδουσι τὰς ἑαυτῶν συνθήκας τῷ Μοναστηρίῳ, καὶ τῇ ἀδελ-
φότητι συγκαταλέγονται, καὶ γίνονται τάχα ὥσπερ μία ψυχὴ ἐν πολ-
λοῖς σώμασιν· ὁ δὲ Διάβολος, ὃς τὴν ἡμῶν τῶν ἀνθρώπων οὐ παύεται
φθονῶν σωτηρίαν, τί μηχανᾶται κατὰ τούτων; Διδάσκει αὐτούς, μᾶλ-
λον δὲ σκοτίζει αὐτῶν καὶ τὸν νοῦν καὶ τὴν καρδίαν, ἵνα αὐτοὺς κατα-
γελάσῃ τοῦ ἀπολέσαι πάντα καὶ ἑαυτούς, καὶ ἀντὶ τοῦ μισθὸν λαβεῖν
αὐτοὺς λήψονται κόλασιν καὶ τιμωρίαν αἰώνιον· παίζει καὶ γελᾷ αὐτοῖς
ὥσπερ νηπίοις ἄφροσι καὶ δεομένοις ἔτι γάλακτος, θέμενος ἐν τῷ λογι-
σμῷ αὐτῶν πονηρίαν πονηροτάτην, δι' ἧς ῥᾳδίως καταποντίσειεν
αὐτοὺς ἐν τῷ τῆς ἀπωλείας πυθμένι. Καὶ τί ποιοῦσιν οἱ ἀνόητοι;
Τὰ ἑαυτῶν πράγματα καταλιμπάνουσιν ἀδιόρθωτα ἢ πάντα, ἢ με-
ρικά, ἢ καὶ ἀργύριά τινα ἐν γωνίᾳ που, κακὴν ἔχοντες ἐπὶ τούτοις ἐλ-



πίδα. Ὦ οἷον ὄλεθρον κρύπτουσι κατ' αὐτῶν οἱ τάλανες! Ὅθεν διὰ μὲν
τοῦ ἐλθεῖν αὐτοὺς ἐν τῷ Μοναστηρίῳ, καὶ τῇ ἀδελφότητι συγκαταλε-
γῆναι, γελᾷν καὶ μυκτηρίζειν οἰόμενοι τὸν ἀμυκτήριστον Θεὸν καὶ ἀλά-
θητον, τὸν καὶ τὰ πρὶν γενέσθαι καλῶς ἐπιστάμενον πάντα. Ὦ τοὺς
ἄφρονας! οἵας χλεύης ὑπαίτιοι καθ' ἑαυτοὺς γενόμενοι οὐ γινώσκουσι,
διὰ δὲ τοῦ τίνα ἀφίνειν ὄπισθεν εἰς τοὺς οἴκους αὐτῶν ἢ ἀλλαχοῦ παί-
ζονται ὁμοῦ, καὶ καταπατοῦνται ὑπὸ τοῦ δαίμονος, καὶ οὐ συνιοῦσιν,
οἱ δείλαιοι, πλανώμενοι τὸν ὄλεθρον. Ὦ τῆς μωρίας! Τί βούλεσθε
ποιεῖν ἄθλιοι, καὶ οἰζηροί; καὶ αἰχμαλωτίζοντες οὕτω πᾶν νόημα
αὐτῶν εἰς τὸν πονηρὸν Διάβολον; Ὑμεῖς μὲν καθ' ἑαυτοὺς ἐπαγγέλε-
σθε ἀφιερῶσθαι τῷ Θεῷ καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα, καὶ ἰδοὺ
εὑρίσκεσθε ἅπαντες οἱ ταῦτα ἐπιτηδεύοντες δεδουλωμένοι τῷ Πονηρῷ
ἀποστάτῃ διὰ κενὸν καὶ μάταιον θέλημα· καὶ εἰ βούλεσθε τοῦτο μαθεῖν,
ὅτι οὕτω καὶ οὐκ ἄλλως ἔχει, ἀκούσατε τοῦ Εὐαγγελίου, λέγοντος τοῦ
Χριστοῦ δι' αὐτοῦ· «Ὅπου ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ καὶ ἡ καρδία ὑμῶν
ἐστί.» Εἰ τοίνυν ἡ καρδία ὑμῶν ὑπάρχει ἐν τῷ θησαυρῷ, ὁ δὲ θησαυ-
ρὸς ἀφιέρωτο πονηρῶς καὶ ἰδιορρύθμως τῷ Διαβόλῳ, πρόδηλον ὅτι καὶ
ἡ καρδία καὶ ἡ ψυχὴ ὑμῶν ἐν αὐτῷ εἰσι τῷ Πονηρῷ· καὶ εἰ οὕτως ἑαυ-
τοὺς μερίζετε, καὶ τοῖς μὲν λέγετε προσηλοῦσθαι τῷ Θεῷ διὰ τῆς ἀπο-
ταγῆς τοῦ κόσμου, τοὺς δὲ τῷ Διαβόλῳ, δι' ὧν κρύπτετε πραγμάτων
τοῦ Μοναστηρίου, οὗ πέρ φατε προσηλωθῆναι καὶ τῆς ἀδελφότητος, ἧς
περ συγκατελέγητε. Τί τὸ κέρδος, μέλεοι; Οὐδέν· ἀλλὰ καὶ ποῦ λό-
γον ἔχει τοῦτο; Οὐκ ἀκούετε τοῦ Χριστοῦ λέγοντος ἐν τοῖς ἱεροῖς καὶ
θείοις Εὐαγγελίοις, «οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν,» οὐδὲ Θεῷ
καὶ Μαμμωνᾷ, ἀλλ' ἢ Θεῷ Θεῷ, ἢ Μαμμωνᾷ Μαμμωνᾷ; τί ἄλλο ἐστὶ
τὸ Μαμμωνᾷ, ἢ πᾶν τὸ περιττὸν καὶ ὑπὲρ τὴν χρείαν; Εἰ οὖν καὶ ὑμεῖς
ταῦτα καταλιμπάνετε ἔξω που, καὶ οὐκ ἐν τῇ Μονῇ, ἴσως περιττὰ λο-
γιζόμενοι ταῦτα, καὶ τῆς Μονῆς καὶ τῆς ἀδελφότητος ἀδεᾶ; Πῶς γάρ,
εἰ, ἐν χρείᾳ ὄντες, ταῦτα τῷ Μοναστηρίῳ καταλιμπάνετε ἔξω; Ὅθεν, ὡς
δοκεῖτε, περιττεύοντες ὑμεῖς ἐν τούτοις, περιττεύουσι κἀκεῖνα ἐν ὑμῖν, ἐν
οἷς καὶ ὑμεῖς ἐκχέετε κακῶς τὸν πόθον. Ὅθεν δῆλον ὅτι Μαμμωνᾷ καὶ
οὐ Θεῷ δουλεύετε. Βαβαί! τί ἂν ἄλλο γένοιτο τούτου ἀνοητότερον, καὶ
θεοστυγέστερον, τοῦ γελᾷν καὶ καταλιμπάνειν τὸν Θεόν, τὸν Πλάστην
ἡμῶν, τὸν Κυβερνήτην τὸν ἄριστον, τὸν κλίναντα τοὺς οὐρανοὺς καὶ
καταβάντα, καὶ ἄνθρωπον γενόμενον δι' ἡμᾶς, καὶ σταυρωθέντα, καὶ
λογχευθέντα, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστηθέντα, τὸν ἀγαθὸν Δεσπότην,
τὸν πρᾶον, τὸν ἥμερον, τὸν Ἰησοῦν τὸν γλυκύτατον, καὶ προσηλω-

θέντα ἀθέσμως τῷ Διαβόλῳ, τῷ πονηρῷ ἀποστάτῃ, τῷ πτερνίσαντι τὴν Εὔαν, καὶ δι' ἐκείνης παγγενῆ τὸν Ἀδάμ, τῷ τὴν ἡμετέραν βασκαίνοντι σωτηρίαν, τῷ τοῖς φίλοις αὐτοῦ κόλασίν τε καὶ τιμωρίαν ἑτοιμάζοντι, τῷ ζεζοφωμένῳ, τῷ μέλανι, τῷ πικρῷ Δεσπότῃ, τῷ μηδὲ ἐν χοίροις ἔχοντι ἐξουσίαν; Ὢ τῆς ἀφροσύνης! ὢ τῆς τυφλώσεως, ἐν αἷς πίπτουσιν οἱ κατὰ τὰς αὐτῶν πονηρευόμενοι ψυχάς! τί χωρίζετε ἐκ τῶν πραγμάτων, ἄθλιοι, καὶ κατακρύπτετε τὰ ὑμέτερα ὡς ξένα; τίς ταῦτα ἁρπάζει ἐκ τῶν χειρῶν ὑμῶν; Οὐδείς. Ἀλλὰ τί τὸ διεγεῖρον ὑμᾶς πρὸς τοῦτο, ὦ μάταιοι τάλανες! φοβούμεθα λέγοντες τὸ γῆρας, προσδοκοῦμέν τινα ἀδυναμίαν, ἢ ἐξορίαν τῶν ἀδελφῶν ἐκ τῆς Μονῆς, ἢ ἄλλο τι παρὰ πόδας τυχόν. Ὢ βδελυροὶ καὶ ἀναπολόγητοι πρὸς ταῦτα! Ὑμεῖς αὐτοὶ καθ' ἑαυτῶν ἐγείρετε πολέμιον τὸν Δράκοντα ἐν τῷ ταῦτα λογίζεσθαι καὶ φρονεῖν. Ἐν ὑμῖν τοῖς Μοναχοῖς οὐκ ἔτι χρὴ λογίζεσθαι ἐξ ὧν προφασιζόμενοι οὔτε γῆρας, οὔτε ἀδυναμία, οὔτε ἄλλη τις ἐξορία, ποῦ ἄρα καὶ νομισθήσεται ἐν ὑμῖν γῆρας, τοῖς νεκρώσασι τὰ μέλη ὑμῶν πάντα διὰ τὸν Χριστόν; ποῦ ἀδυναμία ἐν ὑμῖν, τοῖς καυχωμένοις ἐν ἀσθενείᾳ κατὰ τὸν Παῦλον; Ὅταν ἀσθενῶ, φησὶν ἐκεῖνος, τότε δυνατός εἰμι. Καὶ ποῦ ἐξορία ἐν ὑμῖν, τοῖς τὰ οἰκεῖα ἑκουσίως καταλιποῦσι, καὶ αὐθαιρέτως προκρίνασιν ἐξορίαν καὶ ξενιτείαν διὰ τὸν ξενιτεύσαντα Κύριον; Τοίνυν οὐκ ἔστιν οὕτως, ὡς αὐτοὶ ὑμεῖς λέγετε· ἀλλ' εἰ βούλεσθε ἀκούειν ὡς ἔχει, ἀκούσατε. Διὰ τὸ σκοπεῖν ὑμᾶς ταῦτα καὶ λογίζεσθαι γῆρας, λέγω, καὶ ἀδυναμίαν, καὶ ἐξορίαν, εὑρίσκει ὁ πονηρὸς Δαίμων χώραν καὶ ἐπιτίθησι τούτοις μυρία ἄλλα πάθη καὶ λογισμοὺς ὑπὲρ τὴν θάλατταν καὶ τὴν αὐτῆς ψάμμον καὶ τοὺς τοῦ οὐρανοῦ ἀστέρας. Εἶτα τὸν νοῦν ὑμῶν ἐπισκοτεῖ καὶ θολεῖ, καὶ τότε εὑρίσκεσθε αὐτοὶ καθ' ἑαυτῶν πολέμιοι, πολεμούμενοί τε καὶ μαχόμενοι ὑπ' αὐτοῦ τοῦ Διαβόλου διὰ τῶν οἰκείων ὑμῶν λογισμῶν, ὧν αὐτοὶ αὐτῷ κακῶς τε καὶ ἀφρόνως δεδώκατε. Λογιζόμενοι τὸ γῆρας καὶ τὴν ἀδυναμίαν καὶ τὴν ἐξορίαν, ὡς προέφημεν, καὶ τότε οὐ μόνον τὰ ἴδια νοσφίζεσθε, καὶ κατάκρισιν αἰώνιον καὶ κόλασιν ἀφόρητον ἑαυτοῖς προξενεῖτε, ἀλλ' ἤδη καὶ τὰ ἴδια ἕκαστος ὑμῶν ἐπιτηδεύματα, ἤτοι τὰς τέχνας ὑμῶν, συνεχῶς προβάλλετε εἰς ἄμετρον θησαυρὸν καὶ σωρὸν χρημάτων, καὶ ἔτι τὸ πάντων ἔσχατον καὶ ὀλεθριώτατον, ἐκβάλλει ὑμᾶς τῆς Μονῆς ὥσπερ πάλαι τὸν Ἀδὰμ τοῦ Παραδείσου, καὶ διώκει ὑμᾶς τοὺς ταῦτα συλλογιζομένους, ἔνθεν κἀκεῖθεν τῷ ἀνέμῳ τῆς ἀναρχίας καὶ ἀνυποταξίας, καὶ οὕτω κακῶς καὶ ἀφρόνως οἱ τοιοῦτοι ἐρχόμενοι γυμνοῦσθε τῶν ἀρετῶν κακῶς, ὧν καλῶς ἐν τῇ Μονῇ συγκαταλελεγμένοι ὄντες τῇ ἀδελφότητι συνήγαγον,

ΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΝΤΟΡΗΣ ΠΑΠΑ



καὶ τῆς θείας κατὰ μικρὸν ἐκπίπτουσι χάριτος, καὶ πτωχεύοντες τῶν θείων λογίων τὴν ἀκρόασιν, ἣν οἱ ἀμετάβλητοι καὶ τῆς γνώμης καὶ τοῦ τρόπου πάντοτε δαψιλῶς διαπορθμευόμενοι τῇ ἀδιαλείπτῳ στάσει, καὶ οἱ Ἄγγελοι ἡδέως καθ' ἑκάστην ἐν τῇ Μονῇ ἐνωτίζονται· καὶ τελευταῖον οἴμοι! κολλᾶσθε ἑνὶ τῶν πονηρῶν πολιτῶν, τῶν δαιμόνων λέγω, καὶ παρ' αὐτοῦ στέλλεσθε εἰς τοὺς ἀγροὺς αὐτοῦ, ἤτοι εἰς τὰ ληστεῖα, τὰ ἑταιρεῖα, τὰς ἀκολασίας, τὰ θέατρα, τὰς μέθας· καὶ τί ταῦτα πάντα καταλέγω; εἰς τόπους, οὓς ὁ Κύριος οὐκ ἐπισκοπεῖ τοῦ τί ποιήσειν, τοῦ βόσκειν χοίρους, ἤγουν τοῦ καὶ ἑτέρους διδάσκαλοι τῶν μιαρῶν ὑμῶν καὶ θεοστυγῶν ἔργων γενήσεσθε. Ὢ πόποι! Ὢ ἰδιορρυθμία, σὺ καὶ φιλαργυρία ὑπάρχεις ἡ ῥίζα πάντων τῶν κακῶν! σὺ καλῇ καὶ πλεονεξία, ἡ ἄμοιρος τῆς τῶν οὐρανῶν Βασιλείας κατὰ τὸν μέγαν Παῦλον! οἵους ἐξ οἵων τοὺς χρωμένους σοι ποιεῖν εἴωθας! ἀφ' ὕψους εἰς βάραθρον καθέλκεις, ἀπὸ Βασιλείας εἰς ἐσχάτην καταντᾷς πτωχείαν, ἀπὸ ἐλευθερίας εἰς δουλείαν κατάγεις! Ὢ θεοστυγέστατον καὶ παράνομον ἔργον! σύ, παντάλαινα καὶ ψυχολέτειρα, καὶ τὸν Ἰούδαν παρώτρυνας προδότην γενέσθαι τοῦ διδασκάλου! Ὢ ἰδιορρυθμία, ἀναιδέστατον καὶ κατάπικρον ὄνομα καὶ πρᾶγμα! Φύγετε ταύτην, παρακαλῶ, φύγετε, ὅσοι τῷ Κυρίῳ τὰς ἑαυτῶν ἀφιερώσατε ψυχὰς ὁμοῦ καὶ σώματα· οὐδεμίαν γὰρ ἔχει τὸ πρᾶγμα ὠφέλειαν, κενὸν ὑπάρχει καὶ μάταιον· οὐδενί τινι χαρίζει, ἀλλ' ἢ τὸ ἀποστερεῖν τοὺς ταύτην ἐργαζομένους τῆς Βασιλείας τῶν οὐρανῶν· ὃ μὴ γένοιτό ποτέ τινι ἐν ὑμῖν, ἀλλ' ἀνώτεροι πάντες γενήσεσθε ταύτης! Τοίνυν οὐ μόνον δι' ὧν κακῶς ἀφίνουσί τινες πραγμάτων ἐν τοῖς οἴκοις αὐτῶν εἴρηται, ὧν εἶχον πρὸ τοῦ ἐλθεῖν ἐνταῦθα, ἀλλὰ καὶ δι' ὧν ἐκ τῶν τῆς Μονῆς ἐκτήσαντο πραγμάτων, ἢ ἀπ' ἄλλης οἱασοῦν τινος ἐπιτηδεύσεως, τὰ αὐτὰ καὶ πλείονα. Ὅθεν, ἵνα μὴ γένηταί τι, ἤ τι πάθητε, ἢ ὅλως χώραν ἕξῃ ὁ Πονηρὸς ἐν ὑμῖν, πᾶσιν ὁμοῦ ἀναφανδὸν ἐντέλλομαι νομίμως τε καὶ κανονικῶς οὕτως, ὁ βουλόμενος μονάσαι καὶ εἰσελθεῖν ἐν τῷ Μοναστηρίῳ πρότερον διαθέσθω, ἤτοι διορθούσθω καλῶς τὰ αὐτοῦ ἅπαντα, ὅσα κινητὰ καὶ ἀκίνητα εἴη, καὶ τότε προσερχέσθω ἐν τῷ Μοναστηρίῳ, μηδὲν ἐνοχλούμενος ἐπὶ τῷ ἰδίῳ λογισμῷ· μετὰ γὰρ τὴν εἴσοδον οὐκ ἔξεστί τινι ἐπιστρέψαι καὶ διορθώσασθαί τι τῶν αὐτοῦ· φησὶ γὰρ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός· Οὐδεὶς βαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον, καὶ στραφεὶς εὔθετός ἐστιν. Ἔτι δὲ καὶ τῷ αὐτὸν ἐρωτήσαντι ἀπελθεῖν καὶ τὸν ἴδιον θάψειν πατέρα ἀπειρήκει, εἰπὼν αὐτῷ· Ἄφες τοὺς νεκρούς, θάψαι τοὺς ἑαυτῶν νεκρούς. Λοιπὸν μετὰ τὴν εἴσοδον

εἰς τὸ Μοναστήριον μηδεὶς φανήτω ἔχειν τινὰ πράγματα κινητὰ ἢ ἀκί-
νητα ἔξω που τῆς Μονῆς, ἢ ἐν τῷ ποτὲ αὐτοῦ οἴκῳ, ἢ ἐν υἱῷ, ἢ
ἐν θυγατρὶ αὐτοῦ, ἢ ἐν ἰδίῳ ἀδελφῷ, ἢ ἐν συγγενεῖ τινι, ἢ ἐν φίλῳ αὐ-
τοῦ, ἢ καὶ ἀλλαχοῦ που· ἀλλὰ ταῦτα καλῶς διαθέσηται καὶ διορθώ-
σηται πρὶν τοῦ ἐλθεῖν αὐτὸν εἰς τὸ Μοναστήριον, καὶ ἔσται συγκεχωρη-
μένος. Ὅστις δὲ πάλιν ἔχει τι. καὶ οὐκ ὤρθωσεν αὐτὸ βίᾳ τινὶ ἢ ἄλλο
ἐμποδισθείς, μετὰ τοῦ εἰσελθεῖν δεδιώρθωκε τοῦ Ἡγουμένου καὶ τῶν λοι-
πῶν γνώμῃ, συγγνώμης καὶ οὗτος ἄξιος. Εἰ δέ τις παλιν ἔχων. καὶ
κατὰ τὸ τυχὸν οὐχ ὡμολόγησεν, ὡμολόγησε δέ τις ἕτερος τουτο, μετὰ
δὲ τὴν τούτου ὁμολογίαν εὐθὺς ἐὰν προσπέσῃ τῷ Ἡγουμένῳ καὶ τοῖς λοι-
ποῖς καὶ διορθώσῃ τοῦτο, καὶ συγγνώμην τῆς παραδρομῆς ζητήσῃ. τεύξε-
ται καὶ οὗτος συγγνώμης· εἰ δὲ μετὰ τὴν φανέρωσιν οὐ διορθώσει τοῦτο,
ἀλλὰ μένων ἀνοήτως καὶ κακῶς ἰδιορρυθμῶν ἐν τῷ μέσῳ τῶν λοιπῶν,
εἰ τυχὸν καὶ τελείως οὐκ ἐνεφανίσθη, οὐδὲ ἐφανερώθη παρά τινος εἰς τὸ
διορθωθῆναι αὐτό, τὸν τοιοῦτον ἔχωμεν ἀφωρισμένον καὶ ἀσυγχώρητον
παρὰ Θεοῦ Παντοκράτορος, καὶ ἄλυτον, καὶ τῆς Μονῆς καὶ τῶν ἀδελφῶν
ἐξόριστον. Τοίνυν πάντες προσέχετε ἑαυτοῖς καὶ ἀλλήλοις, ὅτι, εἰ μὴ ταῦτα
προελέγομεν ὑμῖν, εἶχεν ἄν τις κακῶς ἐπινενοεῖσθαι περὶ τοῦ τοιούτου
ἁμαρτήματος, τῆς ὀλεθριωτάτης ἰδιορρυθμίας, ἴσως διὰ τὴν ἄγνοιαν· νῦν
δέ τις οὐκ ἔχει πρόφασιν οὐδὲ μερίδα· ἐν τῷ λόγῳ τούτῳ πάντα ἐγγρά-
φως διεταξάμεθα, καὶ πάντες ἠκούσατε καὶ ἐμάθετε καὶ νενοήκατε, καὶ
ἔτι ἀποστοματίσεσθε ταῦτα. Νῦν δὲ φύγετε πάντες τὴν ταύτης ἐνέρ-
γειαν ὡς βδελυράν τε καὶ Δαιμονοφιλῆ καὶ μεταδότειραν, ἵνα καὶ τῆς
Βασιλείας τῶν οὐρανῶν μέτοχοι γένησθε, καὶ τῆς χαρᾶς τῶν ἐκλεκτῶν
ἀξιωθῆτε ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα σὺν τῷ Ἀνάρχῳ
αὐτοῦ Πατρὶ καὶ τῷ Παναγίῳ καὶ Ἀγαθῷ καὶ Ζωοποιῷ αὐτοῦ Πνεύ-
ματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἔτι δὲ μηδαμῶς γυνή τις εἰσερχέσθω ἐν τῇ Μονῇ, κἂν ἀνάγκαι κατεπείγωσιν ὅ,τι πλεῖσται καὶ μεγάλαι. Εἰ δέ τις τῶν Μοναχῶν αὐθαδῶς τολμήσειε τοῦτο ποιῆσαι, καὶ ἐντὸς τοῦ Μοναστηρίου γυναῖκας εἰσάξειεν, εὐθὺς ὁ τοιοῦτος ἀφοριζέσθω, καὶ τῆς Μονῆς ἐξοριζέσθω, οἷος ἂν καὶ εἴη, εἰ καὶ αὐτὸς ὁ πάντων πρόκριτος. Ὡσαύτως δὲ καὶ ἡ εἰσελθοῦσα γυνὴ ἀφωρισμένη τε εἴη καὶ ἀσυγχώρητος. Ἔτι δὲ καὶ ὁ ποτὲ γυναικί τινι συμφαγὼν ἢ συμπιὼν εἰ κατα μόνας δολίως ὁμιλήσειεν ἐγγύς που τῆς Μονῆς, ἐξωζέτω ταύτης εὐθέως, καὶ τῆς συνοδίας διαζευχθήτω τοῦ λοιποῦ.

Ὁ ταπεινὸς Μητροπολίτης Λαρίσσης
ΒΗΣΣΑΡΙΩΝ.

---

Ἀκριβὲς ἀντίγραφον διαθήκης Ἁγίου Βησσαρίωνος.
Ἐν Ἱερᾷ Μονῇ Δούσικον τὴν 29 Δεκεμβρίου 1893.

*Ὁ τῆς Ἱερᾶς Μονῆς Δούσικον Ἡγούμενος*
**Θεοφάνης Ἀγγελίδης** *ἀρχιμανδρίτης.*



# ΤΟΠΟΓΡΑΦΙΑ
## τῆς Μονῆς «Δούσικον» (Ἁγίου Βησσαρίωνος).

Ἡ Μονὴ τοῦ Ἁγίου Βησσαρίωνος, ἢ Δούσικον, εἶνε ἐκτισμένη ἀνὰ τὸ μέσον τοῦ ὄρους Κότζιακα ἐν τῷ δήμῳ Αἰθίκων τῆς ἐπαρχίας Τρικκάλων τῆς Θεσσαλίας. Κεῖται δὲ Δυτικῶς τῆς πόλεως Τρικκάλων, ἀφ' ἧς τετράωρον περίπου ἀπέχει. Ἄγει δὲ ἀπὸ τῆς πόλεως τῶν Τρικκάλων εἰς τὰς ὑπωρείας τοῦ ὄρους ὁδὸς ἁμαξιτὴ κατὰ μέγα μέρος, καὶ κατὰ τὸ λοιπὸν δὲ ἀνέτως βατή· ἀλλ' ἀπὸ τῶν ὑπωρειῶν μέχρι τῆς Μονῆς ὀρθοῦται ἀνάντης καὶ ἑλικοειδής, ἀπαιτοῦσα ὥρας δρόμον. καὶ ὅμως ἐλαχίστην αἰσθάνεταί τις τὴν ἀπ' αὐτοῦ κόπωσιν ὡς ἐκ τῆς εὐφροσύνης, ἣν ἐμποιεῖ ἡ ἀπὸ τῆς πεδιάδος θέα. Καὶ ὁ μικρὸς ὅμως οὗτος κάματος μαγικῶς παρέρχεται εὐθύς, ὡς ὁ ὁδοιπόρος εὑρεθῇ ἐπὶ τοῦ ὀροπεδίου, ἐφ' οὗ ὑψοῦται ἡ Μονή. Τὸ ὀροπέδιον τοῦτο, ἐν τῷ μέσῳ τοῦ ὄρους Κότζιακα κείμενον, βρύθει θαυμασίως εἰς ποικιλίαν δένδρων ἡμέρων καὶ ἀγρίων. Ἐκεῖ πλάτανοι παχύσκιοι καὶ αἰωνόβιοι δρῦς, πεῦκα ὑπερύψηλα καὶ καστανέαι παμπληθεῖς, καὶ εὐώδεις σχοῖνοι καὶ δάφναι καὶ πίτυες καὶ κότινοι καὶ ποικιλία ἄλλη θάμνων. Πάντα δὲ ταῦτα ὁμοῦ ἀποτελοῦσι δάσος ἀειθαλὲς καὶ γραφικώτατον, πλῆρες κάλλους καὶ δρόσου, ἐν ᾧ ῥώννυται τὸ σῶμα καὶ θέλγεται ἀκαταμαχήτως ὁ ὀφθαλμὸς καὶ ἡ ψυχή. Καὶ ἅπαξ μόνον ἀρκεῖ νὰ φέρῃ τις ἐκεῖ τὸν πόδα. διὰ νὰ ἀποκομίσῃ ἀλησμονήτους ἐντυπώσεις, καὶ ὀνειροπολῇ μετα πόθου πάντοτε τὸν τόπον, ἔνθα ἡ φύσις τῷ ἀπεκαλύφθη μεθ' ὅλης αὐτῆς τῆς μεγαλοπρεπείας καὶ τῆς γοητείας. μαρτυροῦσα κάλλιον πάσης φιλοσοφικῆς ἀποδείξεως τὴν ὕπαρξιν ἐκείνου, ὅστις μόνος δύναται νὰ ὑψώνῃ ὄρη καὶ νὰ δημιουργῇ ἐπ' αὐτῶν τοιοῦτον κόσμον διατρανοῦντα τὴν σοφίαν Αὐτοῦ καὶ τὴν δύναμιν.

Ἐν τῷ μέσῳ τοῦ ἐπιγείου τούτου παραδείσου ὑψοῦται ὁ ναὸς τῆς Μονῆς «Δούσικον,» ῥυθμοῦ Βυζαντινοῦ, ἐπ' ὀνόματι τοῦ Σωτῆρος Χριστοῦ. ἀνατείνων πρὸς τὸν οὐρανὸν τοὺς τρεῖς αὐτοῦ τρούλους κατὰ τὸ σχέδιον, ὅπερ ἀνοικοδομήσας προσέδωκεν εἰς αὐτὸν ἐν ἔτει 1558 ὁ ἀνεψιὸς τοῦ Ἁγίου Βησσαρίωνος Νεόφυτος. Τὸν ναὸν τοῦτον τοιχίζει περίβολος, οὗ τινος ἡ περίμετρος ἀνέρχεται εἰς 384 μέτρα, τὸ δὲ ὕψος εἰς

30—40 πόδας. Τρεῖς δὲ κρῆναι, ἀρκετὸν προχέουσαι ὕδωρ, ἀρδεύουσιν ἐν ὥρᾳ θέρους τοὺς ἐν τῷ περιβόλῳ κήπους. Προσθέσατε εἰς ταῦτα τὰ τριακόσια κελλία, τὰ ὁποῖα ἐγκλείει ὁ περίβολος οὗτος, καὶ δύνασθε νὰ ἔχητε ἰδέαν τινὰ τοῦ σεπτοῦ καὶ ἐπιβάλλοντος μεγαλείου τῆς Μονῆς, ἀνταξίου ἐκείνου, ὅπερ παρουσιάζει ἡ πέριξ φύσις μετὰ τοσαύτης δαψιλείας εὐνοηθεῖσα ὑπὸ τοῦ Δημιουργοῦ. Ἐκεῖ ὁ πιστὸς θερμαίνεται ἀμπερισσότερον ἐν τῇ πίστει του· ἐκεῖ ὁ ἐν τοῖς θορύβοις τοῦ κόσμου ἀμβλύνας τὴν ἐν αὐτῷ δύναμιν τοῦ θρησκευτικοῦ συναισθήματος αἰσθάνεται καὶ ἄκων ἐν τῇ ψυχῇ του ἰσχυρὸν ῥεῦμα εὐλαβείας θείας καὶ συγκινήσεων ὑπερκοσμίων, αἰρουσῶν τὸ πνεῦμα εἰς τὴν αἰώνιον αὐτοῦ πατρίδα, τὸν οὐρανόν.

Τὴν μνήμην τοῦ Ἁγίου γεραίρων καὶ τιμῶν ὁ πατὴρ ἡμῶν Γεώργιος Δ. Καποτᾶς, ἐκ παντὸς τρόπου ἐμαρτύρει τὴν διαθερμαίνουσαν αὐτὸν εὐλαβῆ προσήλωσιν. Οὕτω δὲ καὶ εἰκόνα αὐτοῦ, καλῆς τέχνης, κατέθηκεν ἐν τῷ ἐν Ἀθήναις (κατὰ τὴν Πλάκαν) ἱερῷ Ναῷ τοῦ Σωτῆρος, γραφεῖσαν ἐν ἔτει 1856, καὶ μέχρι σήμερον ἐκεῖ ἔτι ἀφειμένην. Ἡ δὲ πρὸς τὸν Ἅγιον τιμὴ αὕτη κατέστη εὐλαβὴς οἰκογενειακὴ ἡμῶν παράδοσις ὄχι μόνον διὰ τὴν εὐλάβειαν πρὸς τὴν ἱερὰν τοῦ γεννήτορος ἡμῶν ἀφοσίωσιν, ἀλλὰ καὶ διὰ τὰ ὑπέροχα καὶ λίαν τετιμημένα χαρίσματα τοῦ Ἁγίου, ἀνήκοντος εἰς τὴν λαμπροτέραν πλειάδα τῶν νοητῶν ἀστέρων, τῶν κατακοσμούντων τὸ θεῖον στερέωμα τῆς Ὀρθοδόξου ἡμῶν Ἐκκλησίας.

ΙΟΣ ΒΙΒ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣΤ

ΤΕΛΟΣ.

12